ἐγκολαπτός-ή-όν μτγν. κ. νεώτ. ὁ ἐγκεκολαμμένος, ἐγκεχαραγμένος : ΠΔ Βασ.3,6,29 ἐγκολαπτὰ ἔγραφε γραφίδι χερουβίμ, Ἀθήν.11,781 E ἐγκόλαπτον ἱστορίαν ἔχειν ἐν ἐκπώμασι.

ἐγκολάπτω κ. νεώτ., ἀόρ. ἐνεκόλαψα, παθ. ἀόρ. ἐνεκολάφθην, παρακ. ἐγκεκόλαμμαι χαράσσω τι βαθέως, ἐγχαράττω, σκαλίζω (ἰδίως ἐπὶ λίθων) : Ἡρόδ. 1,187 ἐνεκόλαψε δὲ ἐς τὸν τάφον γράμματα λέγοντα τάδε, Πλούτ.Περ.21 τῶν Λακεδαιμονίων.. προμαντείαν εἰς μέτωπον ἐγκολαψάντων τοῦ χαλκοῦ λύκου· ‖ κ. παθ. ἔν τινι : Ἡρ. 2,106 δύο τύποι ἐν πέτρῃσι ἐγκεκολαμμένοι τούτου τοῦ ἀνδρός· ‖ ὁμ. ἐπί τινι : αὐτ.5,59 Καδμεῖα γράμματα... ἐπὶ τρίποσι τρισὶ ἐγκεκολαμμένα· ‖ ὁμ. ἐπί τινος : Σουΐδ. ἐγκ- ἐπὶ πίνακος· 2) μτγν. κ. νεώτ. μτφ. οἱονεὶ ἐγχαράττω, προσάπτω τι ἢ εἴς τινα (νεώτ. μ. ἐπὶ κακοῦ) : Λιβάν. Προγ.43,49 (νόμους) ἡ φύσις κατὰ μέσης ἐνεκόλαψε τῆς ψυχῆς, - ἐγκολάπτω στίγμα ἀτιμίας.

ἐγκόλαψις-εως (ἡ) Ἐπιγρ. κ. νεώτ. ἐγχάραξις : Ἐπιγρ. (Λεβαδ.) ἐγκόλαψις γραμμάτων.

ἐγκολεασμὸς ἐντέρου (ὁ) νεώτ. ἰατρ. ἡ εἴσδυσις τμήματος ἐντέρου ἐντὸς τῆς παρακειμένης μοίρας τοῦ ἐντερικοῦ αὐλοῦ, προκαλοῦσα ἐντερικὴν ἀπόφραξιν.

ἐγκολεήσατο Ἡσ. «εἰς τὸν κολεὸν κατέθετο (τὸ ξίφος)».

ἐγκοληβάζω καταπίνω : Ἀριστφ.Ἱππ.263 εἶτ᾽ ἀποστρέψας τὸν ὦμον αὐτὸν ἐνεκολήβασας (δ.γρ. ἐνεκολάβησας, σχόλ. «καταπέπωκας»)· 2) Σουΐδ.ἐν λ. ἐκκλαβήσας «ἐπὶ κόλοις βαίνειν».

ἐγκολλαβίζω μσν. δίκην κολλάβου βλ.λ. καταπίνω : Εὐστ.Ὀδ.627,47· πρβλ. ἐγκολαβήσαντα.

ἐγκόλλημα-ατος (τὸ) νεώτ. τὸ ἐγκεκολλημένον, προσκόλλημα, οἷον λίθος, πλάξ κττ.

ἐγκόλλησις-εως (ἡ) Ἐπιγρ. κ. νεώτ., δωρ. ἐγκόλλασις - ιος, ἡ πρᾶξις τοῦ ἐγκολλῶ βλ.λ. : ἡ ἐγκόλλησις ἐγένετο πλημμελῶς.

ἐγκολλητής (ὁ) νεώτ. ὁ ἐγκολλῶν, προσκολλῶν.

ἔγκολλος-ον μτγν. ὁ ἐγκεκολλημένος, προσκεκολλημένος, ἐν χρ. κ. μτφ. προσηρτημένος, ἐγκεχαραγμένος : Φίλ.Μηχ.1,610 ἔγκολλα τῇ μνήμῃ.

ἐγκολλῶ-άω μτγν. κ. νεώτ. κολλῶ τι ἐντὸς ἄλλου, προσκολλῶ, συνάπτω : Ἥρων Αὐτομ.24,2. - ἐγκολλῶ ψηφῖδα, - πλάκα· κ. παθ. : ΠΔ Ζαχ.14,5

καὶ ἐγκολληθήσεται ἡ φάραγξ τῶν ὀρέων, ἕως Ἰασόδ, Παπαδ.Χριστ.Διηγ.28 **καὶ ὑπὸ τὰ γεῖσα τῆς στέγης, ὡραῖα μικρὰ πινάκια παλαιῶν χρόνων ἦσαν ἐγκεκολλημένα.**

ἐγκολπίας (ὁ) κ. νεώτ. τοπικὸς ἄνεμος πνέων ἀπὸ θαλασσίου κόλπου, μποκαδούρα : Ἀριστλ. Κόσμ.394 b,15.

ἐγκολπίδιος-α-ον μσν. ὁ ὢν ἐν τῷ κόλπῳ : Κ Μανασσ.Χρον.41 **ἐγκολπίδιον κρύπτων ξίφος.**

ἐγκολπίζω (κόλπος) μτγν. κ. μσν., μέλλ. **ἐγκολπίσω,** παθ. παρακ. **ἐγκεκόλπισμαι,** ἀποτελῶ, σχηματίζω κόλπον : Στράβ.5,4,5 **καὶ μετὰ τοῦτον ἐγκολπίζουσα ᾐὼν εἰς βάθος·** **2**) εἰσπλέω εἰς κόλπον, ἢ πλέω κατὰ μῆκος τοῦ κόλπου : αὐτ. 9,5,22 **ὁ δὲ πᾶς ἀπὸ Δημητριάδος ἐγκολπίζοντι ἐπὶ τὸν Πηνειὸν μείζων τῶν χιλίων·** **3**) ἐνίημι ἐν γυναικείῳ κόλπῳ : Ἀέτ.1,126· **4**) μέσ. λαμβάνω τι ἐν τῷ κόλπῳ μου, ἐγκολποῦμαι, ἐναγκαλίζομαι : Πλούτ.Ἠθ.776 B **Σωρκανὸν ἐγκολπίσασθαι,** Κλήμ. Ἀλ.Στρωμ.6,4,37 **τὸ ὑδρεῖον ἐγκεκολπισμένος·** **5**) δθ. μτφ. ἐνστερνίζομαι, ἀποδέχομαι : Πλούτ. Ἠθ.508 D **ὡς ἑρπετὰ τοὺς ἀπορρήτους λόγους ἐγκολπισάμενος·** **6**) περικλείω, περιλαμβάνω : Διον Ἀλ.Δημ.4 **περίοδος πολλοὺς ἀγκῶνας ἐγκολπιζομένη** (πιθ. ἀντὶ **ἐγκαλλωπιζομένη**)· ‖ περιλαμβάνω ἐν θαλασσίῳ κόλπῳ : Διον.Βυζ.53 **ἄκρα πολὺν ἐγκολπιζομένη λιμένα·** **7**) συλλαμβάνω διὰ δικτύου, πιάνω : Ἀλκίφρ.19,1,18 **ἐκ τῶν λεπτοτέρων ἰχθύων, οὓς ἐγκολπίζεται τῇ σαγήνῃ·** **8**) ἐπὶ γυναικός, ἐν ἀναφ. πρὸς ἔμβρυον, συλλαμβάνω ἐν γαστρί : Πορφ.Ἔμβρ.5,4· - παράγ. ἐγκολπιστέον, ἐγκόλπιος, ἐγκολπίας.

ἐγκόλπιος-ον μτγν., μσν. κ. νεώτ. ὁ ὢν ἢ ὁ φερόμενος ἐν τῷ κόλπῳ : Ἡράκλειτ.Ἀλλ.39 **διδόναι τι ἐγκόλπιον τῷ ἀέρι, - ἐγκόλπιος σταυρός·** ‖ μσν. κ. νεώτ.τὸ οὐδ.ὡς οὐσ. περίαμμα ἢ κόσμημα κρεμάμενον ἐκ τοῦ λαιμοῦ πρὸ τοῦ κόλπου, ἰδίως φυλακτήρι, γκόλφι : Γεώργ.Παχ.Μιχ.Παλαιολ.176 C **τὰ ἱερὰ περιάμματα, ἃ δὴ καὶ ἐγκόλπια ὁ κοινὸς ὀνομάζει λόγος,** Διγεν.Ἀκρ.4488 **καὶ ὡς χρυσοῦν ἐγκόλπιον περιεσκέπαζόν σοι·** ‖ μσν. κ. νεώτ. **ἀρχιερατικὸν ἐγκ-** τὸ ὑπὸ τῶν ἀρχιερέων φερόμενον ἐπιστήθιον, ἐξαρτώμενον ἐκ τοῦ τραχήλου διὰ χρυσῆς ἁλύσεως καὶ εἰκονίζον τὸν Ἰησοῦν Χριστόν, ὡς ἐπίσημον διακριτικὸν τῆς ἀρχιερατικῆς των ἐξουσίας : Συμ.Θεσσ.ἐν Mi. 155,441 **καὶ μανδύαν μετὰ ποταμῶν ἀποστέλλει καὶ τὸ τῆς ἐκκλησίας ἐγκόλπιον, ὅπερ ὡς ἀρραβὼν ἐστι·** **2**) νεώτ.ὁμ. τὸ οὐδ. **ἐγκόλπιον** ὡς οὐσ. μικρὸν βιβλίον περιληπτικόν, συνήθως δὲ καθοδηγητικὸν ἐκλαϊκευτικῶς : **ἐγκόλπιον κτηνοτρόφου.**

ἐγκολπισμός (ὁ) μτγν. πλύσις, κλύσμα ἐν τῷ κόλπῳ τῆς μήτρας τῆς γυναικός : Ἀέτ.3,153.

ἐγκολπῶ-όω (κόλπος) κ. μσν. κ. νεώτ., παθ. κ. μέσ. ἐγκολποῦμαι, δημ. **ἐγκολπώνομαι** διευθετῶ, διατάσσω, κάμνω τι οὕτως, ὥστε νὰ σχηματίσῃ κόλπον, κυρτὴν ἐσοχήν, κοιλότητα· εἰδ. ἐπὶ ἀνέμου ἀναφορικῶς πρὸς ἱστίον, ὕφασμα κτπ., ἐμπνευματῶ, φουσκώνω : Ὀρφ.Ἀργ.1181 **ἐν δ᾽ ὀθόναις κόλπωσε** (κτ. τμ.)· **2**) παθ. ἐπὶ θαλάσσης, κυρτούμενος σχηματίζω κόλπον : Ἀριστλ.Κόσμ.393 a,23 **πρῶτον μὲν οὖν λέγεται ἐγκεκολπῶσθαι ἐν δεξιᾷ εἰσπλέοντι τὰς Ἡρακλείους στήλας·** **3**) μέσ. κ. μσν. κ. νεώτ. λαμβάνω τι ἐν τῷ κόλπῳ μου ἢ συνεκδ. ἐντὸς τῶν κόλπων, τῶν θυλάκων τοῦ ἐνδύματός μου : **ἐνεκόλπωσε μετὰ σπουδῆς τὰ χρήματα·** **4**) ὁμ. μέσ. μτφ. κ. μσν. κ. νεώτ., δημ. **-ώνομαι** (νεώτ. κ. δημ. ἀόρ. παθ. τ.) ἐνστερνίζομαι μετὰ σπουδῆς, εὐχαρίστως ἀποδέχομαι : ΔίωνΚ 48,52 **ἐγκολπώσασθαι καὶ τὴν τοῦ Καίσαρος ἰσχύν,** Μηναῖ.8,16,Ὠδ.5 **ἃ γὰρ τὸ πρώην ἡ Ἔδεσσα ἐγκολπωσαμένη ἐνεκαυχήσατο,** Εὐστ. Πον.65,71 **τὴν δὲ θείαν** (ἀγάπην) **ἐγκολπωσάμενοι, - ἐνεκολπώθη τὰς ἰδέας τοῦ διδασκάλου του, - ἔχει ἐγκολπωθῆ τὸν κομμουνισμὸν - τὶς ὑλιστικὲς θεωρίες·** **5**) παθ. μτγν. κ. μσν. περιβάλλομαι ἔνδυμά τι : Δίων Κ62,2 **χιτῶνα παμποίκιλον ἐνεκεκόλπωτο·** ‖ κ. νεώτ. ἐφορμόζω ἐπ᾽ ἐμοῦ, κλείω ἐκ τοῦ πρόσθεν, κουμβώνω τὸ ἔνδυμά μου : Σουΐδ.ἐν λ.χοιροκομεῖον : **ἐπεὶ ἦλθον ἐγκεκολπωμένα τὰ ἱμάτια ἔχοντες, - μὲ καλῶς ἐγκεκολπωμένα τὰ ἐπανωφόρια ἕνεκα τοῦ ψύχους·** παράγ. ἐγκόλπωμα, ἐγκόλπωσις.

ἐγκόλπωμα-ατος (τὸ) νεώτ. κολπώδης εἰσοχὴ τῆς θαλάσσης, μὴ ἀποτελοῦσα καθαυτὸ κόλπον.

ἐγκολπώνομαι δημ. ἐγκολπῶ βλ.λ.4).

ἐγκόλπωσις-εως (ἡ) νεώτ. τὸ ἐγκολποῦσθαι βλ.λ.4) τινα ἤ τι : **ἡ ἐγκ- θεωρίας - διδασκαλίας.**

ἐγκόλφι (τὸ) μσν. δημ. γκόλφι βλ.λ. : Πολίτ. Ἐκλ.Τραγ.280,3 **τῆς Δέσποινας εἰκόνισμαν, τοῦ βασιλέως ἐγκόλφιν.**

ἐγκομβοῦμαι-όομαι (κόμβος) κ. μσν. προσαρμόζω ἔνδυμα ἐπάνω μου, κουμπώνω, δθ. περιβάλλομαι δι᾽ ἐνδύματος, ἐνδύομαι : Ἀπολλόδ.Κσρ.4 **τὴν ἐπωμίδα πτύξας διπλῶς ἄνωθεν ἐνεκομβωσάμην·** **2**) μτφ. περιβάλλω ἐμαυτόν, πλήρως ἀποδέχομαι, ἐνστερνίζομαι : ΚΔ Πέτρ.1,5,5 **πάντες δὲ ἀλλήλοις ὑποτασσόμενοι τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε·** **3**) παθ. δένομαι, ἐνειλοῦμαι· Ἡσ. «ἐγκομβωθείς, δεθείς», αὐτ. «ἐγκεκόμβωται, ἐνείληται»· παράγ. ἐγκόμβωμα.

ἐγκόμβωμα-ατος (τὸ) (ἐγκομβοῦμαι) κ. μσν. μανδύας ὃν ἔφερον ἰδίως οἱ δοῦλοι καὶ οἱ ποιμένες ὑπεράνω τῆς ἐξωμίδος· Πολυδ.4,119 **«τῇ τῶν δούλων ἐξωμίδι προσκεῖσθαι καὶ ἱματίδιόν τι λευκόν, ἐγκόμβωμα»** : Λόγγ.2,33 **ὁ μὲν ῥίψας τὸ ἐγκόμβωμα, γυμνὸς ὥρμησε τρέχειν ὥσπερ νεβρός·** ‖ ἔνδυμά τι τῶν γυναικῶν : Βάρρ.ἐν Νόν.870 L.

ἐγκόμβωσις-εως (ἡ) μσν. τὸ κόμβωμα, κούμπωμα ἐνδύματος, δθ. γεν. ὁ τρόπος τῆς ἀμφιέσεως : Νικ.Χων.288 Α **ἄσεμνοι καὶ ἀσχήμονες τῶν ἐσθημάτων ἐγκομβώσεις.**

ἔγκομμα-ατος (τὸ) (ἐγκόπτω) κώλυμα, ἐμπόδιον, πρόσκομμα : Εὐσ.Βί.Κωνστ.511 B **ὥσπερ τινὰ . . λίθων ἐγκόμματα, πρὸ τῶν ποδῶν ἐρριμμένα,** Πάπ. **ἐγκόμματα ποιεῖ τοῦ μὴ συντελεῖσθαι τὰ ἔργα.**

ἐγκομπάζω μτγν. περιαυτολογῶν κομπάζω ἔν τισι : Πλούτ.Ἠθ.583 C **ἐν τοῖς ἐρασταῖς ἐγκομπάσηται** (ἀμφ.γρ. **ἐγκομπήσηται**).

ἐγκομπῶ-έω ἐγκομπάζω βλ.λ. : Πλούτ.Ἠθ.583 C.

ἐγκομῶ-άω μσν. καλλωπίζω, στολίζω ἐντός : Ἰωσ. Γενέσ.4,51 Δ **φυτὸν . . ἄνθεσιν ἐγκομᾶν.**

ἐγκονητί ἐπίρρ. μετὰ σπουδῆς, συντόνως, κατεσπευσμένως : Πίνδ.Ν 3,36 **καὶ ποντίαν Θέτιν κατέμαρψεν ἐγκονητί.**

ἐγκόνιμα-ατος (τὸ) Ἐπιγρ. χῶρος, τόπος, ἔνθα ῥίπτεται ἢ ἁπλοῦται ἄμμος (πιθ.).

ἐγκονίομαι μέσ. κυλίομαι εἰς τὴν ἄμμον μετὰ τὸ ἄλειμμα κ. πρὸ τῆς πάλης : Ξεν.Συμπ.3,8 **Αὐτολύκῳ τούτῳ ἱκανὴ γένοιτο ἐγκονίσασθαι·** ‖ κ. παθ. : Λουκ.Ἔρωτ.45 **καὶ πρὸς ἡλίου μεσημβρινὸν θάλπος ἐγκονίεται τὸ σῶμα πυκνούμενον.**

ἐγκονίς-ίδος (ἡ) Σουΐδ. « ὑπηρέτις ».

ἐγκονιστής (ὁ) Ἐπιγρ. Βοιωτ. **ἐγκονιστάς,** ὁ ῥαντιστής : **ἐγκονιστὰς χρούσιος.**

ἐγκονῶ-έω κ. μσν. ἀμτβ. π. ποι. εἶμαι ταχύς, σπεύδω, πράττω τι μετὰ σπουδῆς, ἰδίως ἐπὶ θεραπόντων· π. Ὁμ. μ. ἢ μτχ., βραδύτερον συνήθ. κτ. προστ. : Ἰλ.Ω 648 **αἶψα δ᾽ ἄρα στόρεσαν δοιὼ λέχε᾽ ἐγκονέουσαι,** Σοφ.Αἶ.988 **ἴθ᾽, ἐγκόνει, σύγκαινε,** Λουκ.Ἀνάχ.4 **ἄλλοι δὲ ἀλλαχόθι πάντες ἐγκονοῦσι καὶ ἀναπηδῶσι·** ‖ ὁμ. μτ. συστ. αἰτ. ἢ ἀπαρφ. : Αἰσχ.Πρ. 962 **κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν·** ‖ ὁμ. μετ᾽ ἀπαρφ. : Ὀππ.Ἁλ.4,103

δολιχὸν τέλος **ἐγκονέουσιν ἐξανύσαι·** || ἐν χρ. κ. μτφ. : Τζέτζ.Πρὸ Ὁμ.79 **οὐδ' ἐνόησαν ἐὸν φθόνον ἐγκονέοντες.**

ἐγκόνως ἐπίρρ. Ἡσ. « ταχέως, ἐσπευσμένως ».

ἐγκοπεύς-έως (ὁ) μτγν. κ. νεώτ. ἐργαλεῖον ἐκ χάλυβος, χρησιμεῦον πρὸς ἐπεξεργασίαν σκληρῶν ὑλῶν, οἷον μετάλλων κ. λίθων, κοπίδι : Λουκ.Ἐνύπν.3 **ἐγκοπέα γάρ τινά μοι δοὺς ὁ θεῖος ἐκέλευσέ μοι ἠρέμα καθικέσθαι πλακὸς ἐν μέσῳ κειμένης.**

ἐγκοπή (ἡ) (ἐγκόπτω) κ. μσν. κ. νεώτ. ἡ ἐντομή, χαρακιά· Σωρ.Κατ.44 « ἐγκοπή ἐστι ῥῆξις δοτέον πλαγία γινομένη διὰ πρόπτωσιν ἐπάκμου σώματος» : Εὐστ.1404,56 **βαλβῖδες οὐ μόνον αἱ ἐπὶ ἀφέσεως δρομέων γραμμαί, ἀλλὰ καὶ ὅσαι ἐν φρέασι καὶ ἄλλοις τοιούτοις ἐγκοπαὶ καὶ ἐξοχαί·** || νεώτ. εἰδ. ἐσοχὴ κατεσκευασμένη ἐπί τινος τεμαχίου ἢ ὅπλων ἰδίως ἢ κ. γεν. μηχανημάτων **πρὸς** ὑποδοχὴν ἀντιστοίχου ἐξοχῆς ἄλλου μέρους τοῦ ὅπλου ἢ τοῦ μηχανήματος : **ἐγκοπὴ σκοπευτική - ἀσφαλιστική·** **2)** διακοπή : Διον.Ἀλ.Συνθ.157,15 **τὸ ἐν τῇ κράσει τῶν γραμμάτων δυσέκφορον ἀναβολήν τε ποιεῖ καὶ ἐγκοπὴν τῆς ἁρμονίας,** Ἰάμβλ.Προτρ. 22,356 εἰκόνι **δὲ ῥοθυμίαις καὶ ἐγκοπῆς χρόνων χελιδόνι κέχρηται,** Θεοφύλ.Βουλγ.Ἱστ.7,202 **ἐγκοπὴν τῷ** λόγῳ **διὰ τὸ δάκρυον ποιησάμενος·** **3)** ἐμπροθ. **κατ' ἐγκοπάς συγκεχυμένως :** Λογγῖν. Ὑφ.41,3· **4)** κώλυμα, πρόσκομμα, ἐμπόδιον· Ἡσ. « ἐγκοπὴν ἔνεδρον, ἐμπόδιον » : ΚΔΚορινθ.1,9,12 **πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ.**

ἐγκοπίς-ίδος (ἡ) γλωσσ. κ. νεώτ. μικρὸς ἐγκοπεύς βλ.λ. **2)** νεώτ. ξύλινος βραχὺς πῆχυς διεσχισμένος κατὰ μῆκος εἰς δύο, ἐφ' οὗ σημειοῦντο δι' ἐγκοπῶν αἱ δοσοληψίαι μεταξὺ δύο συναλλασσομένων τσέτουλο.

ἐγκοπιῶ-άω Ἐπιγρ. καταβάλλω κόπον, ἐργασίαν, ἐργάζομαι ἐπιπόνως, κοπιάζω : Ἐπιγρ. **ἔργων τε ἐπιμελείαις καὶ κατασκευαῖς ἐνεκοπίασε.**

ἔγκοπος (-η)-ο(ν) μτγν. κ. δημ. ὁ κεκμηκώς, κουρασμένος, κατάκοπος : ΠΔ Ἠσ.43,23 **οὐδὲ ἔγκοπον ἐποίησά σε ἐν λιβάνῳ, - ἔγκοποι γυρίσαμε ὅλοι ἀπὸ τὸ θέρο·** **2)** ὁ πλήρης δυσχερειῶν, δυσκολιῶν Ἡσ. « δυσχερής » : ΠΔ Ἐκκλ.1,8 **πάντες οἱ λόγοι ἔγκοποι** **3)** ὁ ἔχων διακοπάς, διαλείμματα, διακεκομμένος : Κατάλ.Ἀστρλ.Κ 2,161 **ἔγκοπος πρᾶξις.**

ἔγκοπρος-ον Ἡσ. ὁ πλήρης κόπρου || εἰδ. Ἡσ. « ἡ μὴ δεομένη κόπρου χώρα ».

ἐγκοπτικός-ή-όν μτγν. κ. μσν. ὁ κωλύων, ἐμποδίζων : Ἀθην.Ἰατρ.π.Ὀρειβ.21,8, Εὐστ.1216,52 **τὸ δέ, ὡς θεός, ἐγκοπτικόν ἐστιν ἀπορίας, κατασκευαστικὸν εἰς πιθανότητα.**

ἔγκοπτος-ον μσν. ὁ ἐμπεπηγμένος, ἐγκεχαραγμένος : Κωδ.4 **κόμπους χρυσοῦς ἐγκόπους καὶ κονδύλους ὡσαύτως χρυσοῦς.**

ἐγκόπτω κ. μσν. κ. νεώτ. ἐντὸς κόπτω, κτυπῶ πρὸς τὰ ἐντός, δθ. ἐμπήγω : Θεόφρ.Φ1 2,7,6 **ἀμυγδαλῇ δὲ καὶ πάτταλον ἐγκόψαντες** σιδηροῦν· **2)** σχηματίζω ἐγκοπήν, ἐντέμνω : Ἱππ.28,35 **διὸ παραινέω τουτέοισι λέγουσι μὲν προσέχειν, ποιέουσι δ' ἐγκόπτειν ξυνεσταλμένης διαίτης,** Ἡρωδιαν.5,30 **χιλίας εἰς τὸ νῶτον ἐγκόψαι·** || δθ. εἰδ. ἐπὶ Ἐπιγρ. χαράττω, γλύφω : Ἐπιγρ. ἐγ- τὸ **ψήφισμα ἐς στήλην·** **3)** μτφ. θέτω πρόσκομμα, ἐμποδίζω, ἀντισκόβω· Ἡσ. « ἐγκόπτων, ἐμποδίζων, διακωλύων » : Πολύβ.24,1,12 **τινὲς μὲν οὐ φάσκοντες δύνασθαι τοῦ δικαίου κατὰ τὸ σύμβολον διὰ τὸ τὸν Φίλιππον ἐγκόπτειν τῇ δικαιοδοσίᾳ** (δ. γρ. ἐκκόπτειν τὴν δικαιοδοσίαν), ΚΔ Πράξ.24,4 **ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω,** Πάπ **οὐ μόνον ἐν τούτοις ἡμῖν ἐγκόπτεις ἀλλὰ καὶ ἐν τοῖς λοιποῖς·** κ. παθ. : ΚΔ Ῥωμ.15,22 **διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς·** παράγ. ἐγκοπή, ἔγκοπτος, ἔγκομμα.

ἐγκόπως ἐπίρρ. μτγν. κ. μσν. μετὰ κόπου : Φιλόδ.Ῥητ.1,23,9 **ὥστε τοὺς μὲν ἐγκόπως ἢ μηδέποτε τυγχάνειν τοῦ τέλους,** Ἀχμ.Ὀνειροκρ.69 C **εὑρήσει χρυσίον ἐγκόπως.**

ἐγκορδυλίζω μτγν. ἐγκορδυλῶ βλ.λ. : Συνέσ. 16 A (ἐσφ. γρ.).

ἐγκορδυλῶ-έω μτχ. παθ. παρακ. ἐγκεκορδυλημένος περιτυλίσσω, περιβάλλω τι ἐπιμελῶς διὸ σκεπάσματος : Ἀριστφ.Νεφ.10 **πέρδεται ἐν πέντε σισύραις ἐγκεκορδυλημένος·** || δθ.μον. παθ. κρύπτομαι : Θεοφ.Σιμ.47 Β **πρὸς τὰ τέμπη παρεκρύπτοντο, ἐγκεκορδυλημένοι τοῖς ἄλσεσιν.**

ἐγκορύπτω μτγν. πλήττω ὡς τὰ κερασφόρο ζῶο, κουτουλίζω, κουτρίζω : Λυκόφρ.558 **τῷ δὲ δευτέραν ἔπι πληγὴν ἀθαμβὴς κριὸς ἐγκορύψεται.**

ἐγκορυφῶ-όω μτγν. φέρω εἰς τὴν κορυφήν, εἰς τὸ ἀνώτατον σημεῖον : Γρηγ.Νύσσ.1,629 A **κυμάτων δίκην τῶν ἐγκορυφουμένων τοῖς ὕδασιν.**

ἐγκόσμιος (-ια)-ο(ν) (ἐγκοσμῶ) κ. μσν. κ. νεώτ. ὁ ἐν τῷ κόσμῳ, ὁ κοσμικός, ὁ ἐπίγειος : Συνέσ.Ὕμν. 2,318 Β **ὅθεν ἐγκόσμιος ἤδη χορὸς ἀφθίτων ἀνάκτων,** Μηναῖ.8,6 Ἑσπερ. **ἅπαν νῦν ἐγκόσμιον καὶ ὑπερκόσμιον σύστημα συγκινείσθω πρὸς αἴνεσιν,** Μιχ.Ἀτταλ.Διατ.ἐν Σάθ.1,11 **τὰ διαρκέστατα συναγείρας ἐπ' ἐμοὶ τῶν ἐγκοσμίων αὐτοῦ ἀγαθῶν·** || κ. νεώτ. κ. δημ. τὸ οὐδ. πληθ. **ἐγκόσμια** ὡς οὐσ. τὰ τοῦ κόσμου, τὰ ἐπίγεια, ἀντίθ. τὰ οὐράνια : Φιλόπ.Κόσμ.22,23 **ἐγκατέλειψε τὰ ἐγκόσμια καὶ ἐκλείσθη εἰς μοναστήριον.**

ἐγκοσμογενεῖς Ἡσ. « τοὺς ἅμα τῷ κόσμῳ ἐγκριθέντας ».

ἐγκοσμῶ-έω βάλλω τι ἐν τάξει ἐντός τινος, τακτοποιῶ : Ὀδ.Ο 218 **ἐγκοσμεῖτε τὰ τεύχε', ἑταῖροι, νηὶ μελαίνῃ** (Ἡσ. « ἐν τάξει τίθετε »)· κ. παθ.τακτοποιοῦμαι : Διον.Ἀλ.Ῥωμ.10,54 **ἀρχῇ ἐγκοσμηθείς·** **2)** δθ. παθ. κοσμοῦμαι, καλλωπίζομαι, στολίζομαι, ἐν χ. κ. μτφ. : ΠΔ Μακκ.4,6,3 **καὶ πρῶτον μὲν περιέδυσαν τὸν γηραιὸν ἐγκεκοσμημένον τῇ περὶ τὴν εὐσέβειαν εὐσχημοσύνῃ** (δ.γρ. **ἐκκεκοσμημένον**), Μηναῖ.1,27 Ἑσπ. **θάλπεις ἐγκοσμούμενος θαυμάτων ἄστροις, σοφέ.**

ἐγκότημα-ατος (τό) (κότος) ὀργή, μῖσος· Ἡσ. « ὀργή, μανία » : ΠΔ Ἱερ.31,39 **καὶ ἐγκότημα πᾶσι τοῖς κύκλῳ αὐτῆς.**

ἐγκότησις-εως (ἡ) (κότος) μτγν. ὀργή, μῖσος, ἐγκότημα βλ.λ. : Ἀκύλ.ΠΔ Ὠσ.9,7.

ἐγκοτητικός-ή-όν μτγν. ὁ εἰς κότον ἐπιρρεπής, ὀργίλος, θυμώδης : Ἀπολλ.Σοφ.Λεξ.Ὁμ. « ζάκοτος· ἐγκοτητικός».

ἔγκοτος-ον ὁ ἔχων ἐν ἑαυτῷ κότον, χόλον, ὀργήν, μῖσος : Αἰσχ.Χο.392 **δριμὺς ἄηται κραδίας θυμὸς ἔγκοτον στύγος,** Διόδ.Ζων.ἐνΑΠ 7,40 **φθόνος ἔγκοτος·** **2)** τὸ ἀρσ. ὡς οὐσ. κότος, ὀργή, μῖσος : Ἡρ.3,59 **ταῦτα δὲ ἐποίησαν ἔγκοτον ἔχοντες Σαμίοισι Αἰγινῆται·** || ὁμ. τὸ οὐδ. ὡς οὐσ. : Διον.Ἀλ.9,7 **κατὰ τὸ ἔγκοτόν τινος** (ἐξ ὀργῆς).

ἐγκοτύλη (ἡ) μτγν. εἶδος παιδιᾶς ἐν ἀρχ. Ἀθήναις, ἀνάλογος πρὸς τὴν σημερινὴν παιδιὰν καβάλλες, δ. ἐφεδρισμός, συγγ. ἱππάς, κυβησίνδα· Ἀθήν.11,479 Α « ἐγκοτύλη δέ τις παιδιὰ καλεῖται, ἐν ᾗ κοιλάναντες τὰς χεῖρας δέχονται τὰ γόνατα τῶν νενικηκότων οἱ νενικημένοι καὶ βαστάζουσιν αὐτούς ».

ἐγκοτῶ-έω (κότος) ὀργίζομαι, ἀγανακτῶ κατά τινος : Αἰσχ.Χο.41 **μέμφεσθαι τοὺς γᾶς νέρθεν περιθύμως τοῖς κτανοῦσι τ' ἐγκοτεῖν,** ΠΔ Γέν.27,41 **καὶ ἐνεκότει Ἠσαῦ τῷ Ἰακώβ.**

ἐγκότως ἐπίρρ. μτγν. ἐν καταστάσει κότου, ὀργῆς, ἐν θυμῷ : Φίλ.2,520 **ἐγκότως ἔχειν.**

ἐγκουράς-άδος (ἡ) ἡ ἐν τῇ ὀροφῇ ζωγραφία,

τοιχογραφία· Ἡσ. «ἐγκουράδες, οἱ ἐν ταῖς ὀροφαῖς γραφικοὶ (προσώπων) πίνακες»: Αἰσχ.ἀπ.142· **2)** Ἡσ. «ἐγκουράδες, τὰ ἐν τῷ προσώπῳ στίγματα»· **3)** (κείρω) Ἡσ. «ἐγκουρὰς δὲ καὶ ὁ κεκαρμένος».

ἐγκοχλιῶ-όω νεώτ. κ. **ἐγκοχλιώνω** κοχλιῶ τι ἐντὸς ἄλλου, προσαρμόζω διὰ κοχλιώσεως, βιδώνω.

ἐγκοχλίωσις-εως (ἡ) νεώτ. ἡ πρᾶξις τοῦ ἐγκοχλιῶ, τὸ βίδωμα.

ἐγκραγγάνω Ἡσ. «ἐμβοάω».

ἐγκράζω, μέσ. μέλλ. **ἐγκράξομαι,** ἀόρ. β' **ἐνέκρᾰγον,** παρακ. β' **ἐγκέκρᾱγα,** κράζω, φωνάζω μεγαλοφώνως πρός τινα: Ἀριστφ.Πλ.427 **οὐ γὰρ τοσουτονὶ ἐνέκραγες ἡμῖν οὐδὲν ἠδικημένη,** Θουκ. 8,84 **τὸ δὲ πλῆθος τῶν στρατιωτῶν.. ὥρμησαν ἐγκραγόντες ἐπὶ τὸν Ἀστύοχον,** Ἀριστλ.Φυσιογν. 813 b,5 **φωνεῖν ὀξὺ καὶ ἐγκεκραγός.**

ἐγκραιπαλίζω μτγν. ἐγκραιπαλῶ βλ.λ.: Φιλόδ. Ρητ.1,173 S (ἀμφ.).

ἐγκραιπαλῶ-άω μτγν. διατελῶ ἐν κραιπάλῃ: Ἡρωδιαν.2,10,6 **ᾗπερ ἐκεῖνοι ἐγκραιπαλῶντες.**

ἐγκράνιον (τὸ) μτγν. ἐγκρανίς βλ.λ.: Γαλ.Χρ.Μορ.8,6.

ἐγκρανίς-ίδος (ἡ) μτγν. ἡ παρεγκεφαλίς: Γαλ. Χρ.Μορ.8,11 (**τὴν παρεγκεφαλίδα**) **οὐχ οὕτως, ἀλλ' ἐγκρανίδα τε καὶ ἔγκρανον ὀνομάζουσι.**

ἔγκρασις-εως (ἡ) μτγν. ἡ ἀνάμειξις, συγχώνευσις τῶν ἤχων: Νικόμ.Γερ.Ἁρμον.2· **2)** μτφ. ὁ πολλαπλασιασμὸς τῶν ἀριθμῶν· **κατ' ἔγκρασιν,** ἀντίθ. κατὰ σύνθεσιν: Θεολ.Ἀριθμ.9,37.

ἐγκρασίχολος (ὁ) κ. νεώτ. ζῳολ. εἶδος μικροῦ ἰχθύος τῆς οἰκογεν. τῶν **κλυπεϊδῶν,** ἄ. ἐγγραυλὶς ἡ ἐγκρασίχολος: Ἀριστλ.ΖΙ 569 b,27 **ἐκ δὲ μιᾶς ἀφύης, οἷον τῆς ἐν τῷ Ἀθηναίων λιμένι, οἱ ἐγκρασίχολοι καλούμενοι.**

ἐγκράτεια (ἡ) (ἐγκρατής) κ. μσν. κ. νεώτ. ἡ ἰδιότης τοῦ ἐγκρατοῦς βλ.λ., τὸ εἶναί τινα κύριον ἑαυτοῦ, ἰδίως εἰς τὰς κατ' αἴσθησιν ἡδονάς: Πλούτ. Πολ.390 B **δοκεῖ σοι ἐπιτήδειον εἶναι πρὸς ἐγκράτειαν ἑαυτοῦ ἀκούειν νέῳ;,** Ξεν.Ἀγησ.4,3 **οὐ καὶ τοῦτο μέγα τεκμήριον ἐγκρατείας χρημάτων,** -**ἐγκράτεια φαγητοῦ - ποτοῦ·** ‖ ὁμ. ἐμπροθ., οἷον **ἐ- περί τι, πρός τι**: Ξεν.Ἀγησ.5,4 **περί γε μὴν ἀφροδισίων ἐγκρατείας αὐτοῦ ἆρ' οὐχὶ εἰ μή του ἄλλου ἀλλὰ θαύματος ἕνεκα ἄξιον μνησθῆναι;·** ‖ ὁμ. ἀπολ.: Ξεν.Ἀπομν.1,5,1 **εἰ δὲ δὴ καὶ ἐγκράτεια καλόν τε κἀγαθόν τε ἀνδρὶ κτῆμά ἐστιν, ἐπισκεψώμεθα,** Ἰσοκρ.3,44 **τὴν δ' ἐγκράτειαν ἐν ταῖς τῶν νεωτέρων ἡλικίαις,** ΚΔΠράξ 24,25 **διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας·** ‖ ὅθ. κ. μσν. κ. νεώτ. ἀποχὴ ἀπό τινος, ἰδίως ἀπὸ τῶν κατ' αἴσθησιν ἡδονῶν: Ἰσοκρ.1,21 **ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει πάντων,** Ζωναρ.8 C **συμβαίνει δὲ καὶ τὴν θατέρου ἐγκράτειαν εἰς βλάβην ἴσως ἀποβαίνειν θατέρου** (τῶν συζύγων).

ἐγκράτευμα-ατος (τὸ) μτγν. τὸ ἐγκρατεύεσθαι: Ἰάμβλ.Πυθ.17,72 **χαλεπώτερον τῶν ἄλλων ἐγκρατευμάτων τοῦτο, τὸ γλώσσης κρατεῖν.**

ἐγκρατεύομαι κ. νεώτ. εἶμαι ἐγκρατής, ἐπιβάλλω εἰς ἐμαυτὸν ἐγκράτειαν βλ.λ., ἰδίως τῶν σωματικῶν ἡδονῶν, ὅθ. ἀπέχω, ἰδίως ἐν ἀναφορ. πρὸς τὴν τροφὴν καὶ τὰ ἀφροδίσια: Ἀριστλ.ΗΕὐδ. 1223 b, 12, ΠΔΓέν.43,30 **καὶ νιψάμενος τὸ πρόσωπον, ἐξελθὼν ἐνεκρατεύσατο,** ΚΔΚορινθ.7,9 **εἰ δὲ οὐκ ἐγκρατεύσονται, γαμησάτωσαν·** ‖ γεν. ἀπέχω: Κλήμ. Ἀλ.Στρωμ.4,319,12 **ἐγκρατεύεσθαι ἀγαθοεργίας κακίας ἔργον ἐστίν·** **2)** ἀποθνήσκω ἑκουσίως δι' ἀσιτίας: Βέττ.Βάλ. 127,20· **3)** εἶμαι ὀπαδὸς τῶν ἐγκρατιτῶν βλ.λ.: Ἐπιγρ.

ἐγκρατεύσιμοι ἡμέραι μσν. ἡμέραι νηστείας, κυρίως καθ' ἃς δὲν ἐπιβάλλεται πλήρης ἀποχὴ ἀπὸ τροφῆς: Μιχ.Ἀκομ.115,13.

ἐγκρατευτής (ὁ) μσν. ὁ ἔχων ἐγκράτειαν, νηστευτής: Εὐστ.554,8 **ἐπὶ ἐγκρατευτῶν ἀνδρῶν ῥηθήσεται τὸ οὐ γὰρ σῖτον ἔδουσιν.**

ἐγκρατευτικός-ή-όν μσν. ὁ ἀνήκων εἰς τὴν ἐγκράτειαν, ὅθ. τὸ οὐδ. ὡς οὐσ. ἡ ἐγκράτεια: Εὐστ.90,11 **οὐ προσποιήσομαι οὐδὲ τὸ ἐγκρατευτικόν.**

ἐγκρατής-οῦς-ές (κράτος) κ. μσν., νεώτ. κ. δημ. ὁ ὢν κύριος, ὁ ἔχων κράτος, ἐξουσίαν: Σοφ.ΟΤ 941 **οὐχ ὁ πρέσβυς Πόλυβος ἐγκρατὴς ἔτι;·** **2)** ὁ ἐπιτήδειος εἰς τὸ κρατεῖν ἰσχυρῶς, στερεά: Ξεν.Ἱππ.7,8 **εὐσταλέστατός τε ὁ ἱππεὺς ἔσται καὶ ἡ χεὶρ ἐγκρατεστάτη·** ‖ ὅθ. ὁ ἰσχυρός, ὁ δυνατός, ὁ στιβαρός, ἐπὶ προσ. κ. ἐπὶ πραγμ.: Σοφ.Ἀντ.474 **καὶ τὸν ἐγκρατέστατον σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ θραυσθέντα.. ἂν εἰσίδοις,** Ξεν.Ἑλλ.7,1,23 **σώματα ἐγκρατέστατα·** **3)** μετὰ γεν. ὁ ἔχων τι ὑπὸ τὴν ἐξουσίαν του, ὁ ὢν κύριός τινος: Ἡρ.8,49 **ὅκου δοκέοι ἐπιτηδεώτατον εἶναι ναυμαχίην ποιέεσθαι τῶν αὐτοὶ χωρέων ἐγκρατέες εἰσί,** Σοφ.Ἀντ.715 **αὔτως δὲ ναὸς ὅστις ἐγκρατῆ πόδα τείνας ὑπείκει μηδέν,** Πάπ. **ἐγκρατὴς γενόμενος τῆς οἰκίας·** ‖ ὁμ. κ. μτφ.: Θεοδώρ.3 **ἰδὼν ὅμως τὸν βασιλέα ἐγκρατῆ γενέσθαι θυμοῦ μὴ δυνάμενον·** **4)** ὅθ. ὁ ὢν κύριος ἑαυτοῦ, ὁ συγκρατῶν ἑαυτόν: Πλάτ. Φαῖδρ.256 B **ἐγκρατεῖς αὑτῶν καὶ κόσμιοι ὄντες·** ‖ κ. μσν., νεώτ. κ. δημ. ἐπὶ τῶν παθῶν καὶ τῶν κατ' αἴσθησιν ἐπιθυμιῶν καὶ ἰδίως ἐπὶ τῶν ἀφροδισίων, ὁ κύριος ἑαυτοῦ, ὅθ. ὁ ἀπέχων τῶν σωματικῶν ἀπολαύσεων: Ξεν.Ἀπομν.1,2,1 **ἀφροδισίων καὶ γαστρὸς πάντων ἀνθρώπων ἐγκρατέστατος ἦν,** Διον.Ἁλ.Ρωμ.2,10 **οὕτως ἐγκρατὴς ὁ βίος ἦν αὐτοῖς ἁπάσης ἡδονῆς·** ‖ ὁμ. ἀπολ.: Πλάτ.Ὅρ. 415 D **ἐγκρατὴς ὁ κρατῶν ἀντιτεινόντων τῶν τῆς ψυχῆς μορίων τῷ ὀρθῷ λογισμῷ,** Ἀριστλ. Ἠθ. Νικ.1145 b,13.

ἐγκράτησις-εως (ἡ) μτγν. τὸ συγκρατεῖν: Διογ. Λ 6,77 **οἱ μέντοι γνώριμοι αὐτοῦ.. εἴκαζον τὴν τοῦ πνεύματος ἐγκράτησιν.**

ἐγκρατηταί (οἱ) μτγν. ἐγκρατῖται βλ.λ.: Κλήμ. Ἀλ.Στρωμ.59,15 **ἐγκρατητὰς λεγομένους** (ἀμφ.).

ἐγκρατητικός-ή-όν μτγν. ὁ ἔχων ἐγκράτειαν, ἐγκρατευόμενος: Ἐπιφάν.1,392 A **ἐν τῷ προσχήματι τῆς ἐγκρατείας καὶ τοῦ ἐγκρατητικοῦ ἤθους.**

ἐγκρατικός-ή-όν νεώτ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὴν ἐγκράτειαν· **2)** ἐγκρατής· **3)** ἐγκρατίτης βλ.λ.

ἐγκρατίτης (ὁ) μτγν. κ. νεώτ. ὀπαδὸς τῆς περὶ ἐγκρατείας διδασκαλίας: Κῶδ.Θεοδοσιαν.16,5,9· ‖ πληθ. **ἐγκρατῖται ἢ ἐγκρατηταὶ ἢ ἐγκρατικοὶ** τάξις αἱρετικῶν Χριστιανῶν ἀπεχομένων ἀπὸ τοῦ γάμου καὶ ἀποστρεφομένων τὸν οἶνον **καὶ** τὴν **ἐξ** ἐμψύχων τροφήν: Ἐπιφάν.Αἱρ.26,1.

ἐγκρατούντως ἐπίρρ. μτγν. ἐγκρατῶς βλ.λ.: Φιλόδ.Ρητ.2,62.

ἐγκρατύνομαι (ἐν-κρατύνομαι) μσν. ἐνισχύω τινὰ εἴς τι: Ἰωσ.Γενέσ.4,46 E **ἐκπεμφθέντων ἐκεῖσε ἀρχιερέων τινῶν ἐλλογίμων τὰ τῆς χριστιανικῆς πίστεως ἐγκρατύνασθαι.**

ἐγκρατῶ-έω μτγν. ἔχω εἰς τὴν ἐξουσίαν μου, κρατῶ, ἐξουσιάζω: Μέτωπος Μεταποντῖνος π. Στοβ.Ἀνθ.3,1,115 **ὅκκα μὲν τὸ λογιστικὸν μέρος τᾶς ψυχᾶς ἐγκρατῇ τῶ ἀλόγω,** γίνεται καρτερία **καὶ ἐγκράτεια,** ΠΔ Ἔξ.9,2 **εἰ μὲν οὖν μὴ βούλει ἐξαποστεῖλαι τὸν λαόν μου, ἀλλὰ ἔτι ἐγκρατεῖς αὐτοῦ,** Πάπ. **οὐ οὐδενὸς ἐγκρατῶ,** Ἰωσ.Γενέσ.46 B **ἐκπέμπει τῶν εὐδοκίμων, ἐπαναβεβηκέναι τοῦ ὄρους καὶ ἐγκρατῆσαι αὐτοῦ·** **2)** ἐγκαρτερῶ βλ.λ.: Πλούτ.Ἠθ.97 C **Ἀριστείδης ἐνεκράτησε τῇ πενίᾳ, πολλῶν χρημάτων κύριος γενέσθαι δυνάμενος** (ἐσφ. γρ., διορθ. **ἐνεκαρτέρησε**).

ἐγκρατῶς ἐπίρρ., ἰων. -έως ἰσχυρῶς, βίᾳ: Θουκ.4,76 ἀναγκασθέντας ἂν ἢ ἄρχειν ἐγκρατῶς ἢ αὐτοὺς κινδυνεύειν, Ἀριστλ.Πολιτ.1284 a,40 ἐπεὶ γὰρ θᾶττον ἐγκρατῶς ἔσχον τὴν ἀρχήν, ἐταπείνωσαν αὐτοὺς παρὰ τὰς συνθήκας, Θεόκρ. 25,266 ἦγχον δ᾽ ἐγκρατέως στιβαρὰς σὺν χεῖρας ἐρείσας ἐξόπιθεν· **2**) μετ᾽ ἐγκρατείας, μετρίως: Πλάτ.Νόμ.710A παισὶ καὶ θηρίοις, τοῖς μὲν ἀκρατῶς ἔχειν πρὸς τὰς ἡδονάς, ξύμφυτον ἐπανθεῖ, τοῖς δὲ ἐγκρατῶς, Δίων Χρυσ.1,62 ταῦτα δὲ ἔλεγεν οὐκ.. ἀσθμαίνουσα.. ἀλλὰ πάνυ ἐγκρατῶς καὶ σωφρόνως.

ἐγκραυγάζω μτγν. κραυγάζω, φωνάζω πρός τινα: Φιλόδ.Παρρ.5.

ἐγκρεμάννυμαι κ. ἐγκρεμῶμαι-άομαι μτγν. κ. μσν.παθ. κρεμῶμαι ἐντός τινος: Γεωπ.2,4,2 ἐγκρεμασθῆναι τὸ ἔριον μέχρι ἡμίσεος τοῦ ἀγγείου· **2**) μτφ. ἐξαρτῶμαι ἔκ τινος: Εὐσ.Εὐαγγ.Προπ.809 C πάντων οὖν τοῦ Πλάτωνος δογμάτων ἀτεχνῶς ἐξηρτημένων καὶ ἐγκρεμαμένων τῆς κατὰ τὴν ψυχὴν θεότητός τε καὶ ἀθανασίας.

ἐγκρέμασις-εως (ἡ) ἡ ἀνάρτησις, τὸ κρέμασμα: Ἱππ.Ἄρθρ.76 (δ. γρ.).

ἐγκρεμός (ὁ) δημ. κ. ἐγκρεμνός κ. γκρεμνός, γκρεμός ὁ κρημνός, ὁ ἀπόκρημνος τόπος: Φορτ. 168 ὅπου εἰς μεγάλους ἐγκρεμοὺς νὰ γκρεμνιστῇς σ᾽ ἀμπώθουν, Βαλαωρ.Ἀθ.Διάκ.3,12 ἀκούοντ᾽ οἱ νεροσυρμές, ἀπὸ ἐγκρεμὸ σὲ βράχο, Μαλακ. Συντριμμ.Ἆσμα Ἀσμάτων 13,12 καὶ τὸ ζευγάρι ἐβροντοκύλησε | μέσα στὸν ἐγκρεμό.

ἐγκρημνίζω μσν. κρημνίζω εἴς τι: Ἰωσ.Γενέσ. 51A τοῦ τε βασιλέως ἐνθροηθέντος καὶ τῷ πτώματι ἀκουσίως ἐγκρημνισθέντος.

ἔγκρης-ητος (ὁ) ὁ γεννηθεὶς Κρής· ΑΒ 1188 «ἀπὸ τοῦ Κρὴς Κρητὸς Ἔγκρης Ἔγκρητος».

ἐγκρί Ἡσ. «κοίλῳ καὶ κενῷ».

ἐγκριδοπώλης (ὁ) ὁ πωλῶν ἐγκρίδας βλ.λ. ἢ πλακούντια: Ἀριστφ.ἀπ.256 μὴ τἄρ᾽ εἶναί μ᾽ ἐγκριδοπώλην.

ἐγκρικάρδεια κ. μσν. Ἡσ. «συναφὴ χειρῶν εἰς τοὐπίσω»: Θεόγνωστ.Καν.164,27.

ἐγκρίκια Ἡσ. «ξύλα κεκαμμένα».

ἐγκρικῶ-όω περιβάλλω διὰ κρίκου, συνδέω: Ἱππ.Ὀστ.18 τὰς διὰ κρίκου τε πλευρὰς καὶ τοὺς σπονδύλους ἐνεκρίκωσε πρὸς τὴν ἄκανθαν (Ἡσ. «ἐνεκρίκωσεν· ἐνέδησεν»).

ἐγκρίμναμαι εἶμαι ἀνηρτημένος: Ἱππ.Ἄρθρ.76 (δ.γρ. ἐκκρίμναμαι).

ἐγκρινίδαι (οἱ) νεώτ. ζῳολ., οἰκογ. ἀρθρωτῶν ἢ νεοκρινοειδῶν, ζῴων ἀπαντώντων μ. ἐν ἀπολιθώσει.

ἐγκρίνουρος (ὁ) νεώτ. ζῳολ., γένος τριλοβιτῶν, ζῴων ἀπαντώντων μ. ἐν ἀπολιθώσει.

ἐγκρίνω κ. νεώτ. κ. δημ., μέλλ. ἐγκρινῶ, ἀόρ. ἐνέκρινα, παθ. ἀόρ. ἐνεκρίθην, μτχ. παθ. παρακ. ἐγκεκριμένος κατόπιν κρίσεως, ἐξετάσεως, ἐκλέγω, παραδέχομαί τινα ἤ τι ἔχοντα ἰδιότητά τινα: Εὐρ.Ἡρ.183 ἐροῦ τίν᾽ ἄνδρα ἄριστον ἐγκρίνειαν ἂν ἢ οὐ παῖδα τὸν ἐμόν· || ὁμ. ἐκλέγω, παραδέχομαί τινα ἤ τι μεταξὺ ἄλλων: Πλάτ.Πολ.486 D ἐπιλήσμονα ἄρα ψυχὴν ἐν τοῖς ἱκανῶς φιλοσόφοις μή ποτε ἐγκρίνωμεν, ΚΔ Κορινθ.2,10,12 οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων· || ὁμ. κ. παθ. ἐγκρίνομαι, ἐκλέγομαι, γίνομαι δεκτὸς μεταξὺ ἄλλων: Πλάτ.Νόμ.755 D ὁπότερος δ᾽ ἂν δόξῃ διαχειροτονούμενος, ἐς τὴν αἵρεσιν ἐγκρινέσθω, Δημ.489 ἐπειδάν τις ἐς τὴν καλουμένην γερουσίαν ἐγκριθῇ παρασχὼν αὑτὸν οἷον χρή· || ὁμ. ἀναφορ. πρὸς συγγραφεῖς ἢ συγγράμματα, παραδέχομαι, κατατάσσω μεταξύ· ἐν χρ. κ. τὸ παθ.: Σουΐδ. ἐν λ. Δείναρχος Ῥήτωρ τῶν μετὰ Δημοσθένους ἐγκριθέντων, Φώτ.κώδ.61 Αἰσχίνην Φρύνιχος εἰς τοὺς ἀρίστους ἐγκρίνει, αὐτ.262· || τὸ παθ. εἰδ. ἐπὶ τῶν ἐφήβων, κρίνομαι ἱκανὸς νὰ καταταγῶ εἰς τὴν τάξιν τῶν ἐφήβων: Ἐπίγρ.· || ὁμ. τὸ παθ. ἐπὶ ἀθλητῶν: Ἀρτεμ.1,59· || ἡ μτχ. ὁ ἐγκρινόμενος ὡς οὐσ. γλυπτικὸν ἔργον τοῦ Ἀλκαμένους: Πλίν.ΦΙ 34,72· || ἐγκρίνεται τὸ στάδιον διά τινα δίδεται ἡ ἄδεια εἰσόδου εἰς τὸ στάδιον: Ξεν.Ἑλλ.4,1,40 ὅπως ἂν δι᾽ ἐκεῖνον ἐγκριθείη τὸ στάδιον ἐν Ὀλυμπίᾳ· || ἐγκρίνω νόμισμα παραδέχομαι ὡς γνήσιον: Φιλόδ.Ρητ. 1,256· **2**) γεν. παραδέχομαι, δέχομαι ὡς ὀρθόν: Πλάτ.Νόμ.936 A καὶ ὃ μὲν ἂν οὗτος ἐγκρίνῃ, προφέρειν εἰς τὸ μέσον ἐξέστω τῷ ποιήσαντι, ὃ δ᾽ ἂν ἀποκρίνῃ, Φιλόδ.Σημ.32 ἐ- τρία γένη σημείων, Σχόλ.Πίνδ.Ο 2,104 ἐ- παλιγγενεσίαν· **3**) μτγν., νεώτ. κ. δημ. ἐπιδοκιμάζω, ἐπικροτῶ τι, εὑρίσκω, χαρακτηρίζω τι μετὰ κρίσιν μου ὡς καλόν: Πλούτ. Ἠθ.11 F τοὺς δὲ τῆς ψυχῆς ἐραστὰς ἐγκρίνειν κατὰ τὸ σύνολον,- δὲν ἐγκρίνω τοιαύτας ἀδικίας· || ὁμ. παθ.: Πολύβ.9,2,4 ὁ δὲ πραγματικὸς τρόπος ἐνεκρίθη πρῶτον μὲν διὰ τὸ καινοποιεῖσθαι συνεχῶς· || νεώτ. ἐγκυρῶ, καθιστῶ τι ἔγκυρον: ἡ κυβέρνησις ἐνέκρινε τὰ ληφθέντα ὑπὸ τῆς ἀστυνομίας μέτρα· || νεώτ. ἐξετάζων τι ἀποφαίνομαι ὑπὲρ αὐτοῦ: ἐγκρίνω σχέδιον - τὰ διδακτικὰ βιβλία· || ὁμ. κ. παθ.: τὰ ἐγκριθέντα,- τὰ ἐγκεκριμένα διδακτικὰ βιβλία.

ἐγκρίς-ίδος (ἡ) εἶδος πλακοῦντος παρεσκευασμένου μετ᾽ ἐλαίου καὶ μέλιτος, ἁ. ταγηνίας, δημ. τηγανίτα· Σουΐδ. «γλύκισμα ἐξ ἐλαίου ὑδαρές»: Στησίχ.π.Ἀθήν.14,645 E χόνδρον τε καὶ ἐγκρίδας, Φερεκρ.π.Ἀθήν.14,645 E ταῦτ᾽ ἔχων ἐν ταῖς ὁδοῖς ἁρπαζέτω τὰς ἐγκρίδας, ΠΔ Ἐξ.16,31 τὸ δὲ γεῦμα αὐτοῦ ὡς ἐγκρὶς ἐν μέλιτι· **2**) Ἡσ. «ἀμανίτης».

ἔγκρισις-εως (ἡ) (ἐγκρίνω) κ. Ἐπιγρ. κ. νεώτ. ἡ πρᾶξις τοῦ ἐγκρίνω, ἡ ἐπιδοκιμασία, ἐπικύρωσις: Ἐπιγρ. στιχαζομένων ὑμῶν ἐκ τῶν ὑπ᾽ ἐμοῦ γεγραμμένων ἐγκρίσεων,- οὐδὲν πράττει ἄνευ τῆς ἐγκρίσεως τοῦ πατρός του· || νεώτ κ. ἔγγραφον, δι᾽ οὗ ἀνακοινοῦται ὅτι ἐγκρίνεταί τι: περιμένω νὰ ἔλθῃ ἡ ἔγκρισις τοῦ ὑπουργοῦ· **2**) ἐπὶ τῶν ἀθλητῶν, ἡ ἐξέτασις, ἡ παραδοχὴ δι᾽ ἐκλογῆς· Σουΐδ. «ἱερὸς ἀγών»: Λουκ.Εἰκ.11 τὴν ἐξέτασιν τῶν ἀνδριάντων ἀκριβεστέραν γίγνεσθαι τῆς τῶν ἀθλητῶν ἐγκρίσεως, Ἀριστείδ.1,508 τῶν μὲν ἀθλητῶν ἐγκρίσεις ποιοῦμεν· **3**) ἡ θέσις ἔνθα συνέρχονται ὁ μηρὸς καὶ ὁ γλουτός, ἡ προσαρμογή, ἡ σύνδεσις: Ἀλκίφρ.1,39 τὴν ἐπὶ τοὺς μηροὺς ἔγκρισιν.

ἐγκριτήριος-α-ον Ἐπιγρ. ὁ πρὸς ἔγκρισιν, ἐξέτασιν, δοκιμασίαν χρησιμεύων: Ἐπιγρ. Κορίνθ. ἐγκριτήριοι οἶκοι (δωμάτια, ἐν οἷς οἱ ἀγωνισταὶ πρὸ τοῦ ἀγῶνος ἐξητάζοντο ἢ ἐδοκιμάζοντο).

ἐγκριτικός-ή-ό(ν) νεώτ. κ. δημ. ὁ παρέχων ἢ περιέχων ἔγκρισιν, ἐπιδοκιμασίαν, ἐπικυρωτικός: ἐγκριτικὴ ἀπόφασις.

ἔγκριτος-ον κ. νεώτ. κ. δημ. ὁ γινόμενος δεκτός, παραδεκτός: Πλούτ.Νόμ.966 D μὴ δ᾽ αὖ τῶν πρὸς ἀρετὴν ἐγκρίτων γίγνεσθαι· **2**) νεώτ. κ. δημ. ἐπὶ προσ. διακεκριμένος, διαπρεπής, ἐξαίρετος: ἔγκριτος δικηγόρος - φιλόλογος· || τὸ ἀρσ. ὡς οὐσ. ἐν τῷ πληθ., οἱ διαπρέποντες, ἐξέχοντες, ἐπιφανεῖς: οἱ ἔγκριτοι τῆς πόλεως.

ἐγκροαίνω μσν. ἐκτείνομαι, ἐπεκτείνομαι, ἐξαπλοῦμαι εἴς τι: Εὐστ.1050,31 ἐγκρ- διηγήσεσιν.

ἐγκροστῶ-όω (λατ.) Ἐπιγρ. ἐπιστρώνω ἔδαφος διὰ μαρμαρίνων πλακῶν, πλακοστρώνω.

ἐγκρόταφος Ε Γουδ. «ἀντικέφαλος».

ἐγκροτῶ-έω κροτῶ, κτυπῶ ἐπὶ τοῦ ἐδάφους: Θεόκρ.18,7 ἄειδον δ᾽ ἄρα πᾶσαι ἐς ἓν μέλος ἐγκροτέοισαι ποσσὶ περιπλέκτοις· || μέσ. ἀλληλοπαθ. κτυπῶμαι ἀμοιβαίως: Εὐρ.ΙΤ 1368 πυγμαὶ

δ' ἦσαν **ἐγκροτούμεναι** (κατεφέροντο κατὰ τῶν σωμάτων ἀλλήλων)· **2**) κτυπῶ τὴν θύραν : Λεωνίδ. Ταρ.Ι· **3**) παθ. στερεοῦμαι δι' ἥλων, προσηλοῦμαι, καρφώνομαι : Φιλόστρ.'Απολλ.2,20 **ἐγκ· τοίχῳ.**

ἐγκρουστήρ-ῆρος (ὁ) νεώτ. σιδηροῦν ἢ χαλύβδινον ἐργαλεῖον κατάλληλον πρὸς σφυροκόπησιν ἐντὸς κοιλοτήτων, δημ. ζουμπᾶς· **2**) ἡ σφῦρα, ὁ ἐπικρουστὴρ τῶν κυνηγετικῶν **καὶ** τῶν παλαιοτέρων πυροβόλων ὅπλων, δημ. λύκος, κόκκορας.

ἐγκρούω κρούων, κτυπῶν τι ἐμπήγνυμι, καρφώνω : 'Αριστφ.Σφ.130D **ὁ δ' ὡσπερεὶ κολοιὸς αὐτῷ παττάλους ἐνέκρουεν εἰς τὸν τοῖχον,** Θεόφρ.Χαρ.4,17 **καὶ εἰς τὰ ὑποδήματα δὲ ἥλους ἐγκροῦσαι**· || ἐπὶ ἀκρίδων, κτυπῶ, πλήσσω, τρίβω : Μελέαγρ.ἐνΑΠ 7,195,4 **ἐγκρούουσα ποσσὶ λάλους πτέρυγας**· **2**) ὀρχοῦμαι, χορεύω : 'Αριστφ.Βάτρ.374 **χωρεῖ νῦν πᾶς ἀνδρείως εἰς τοὺς εὐανθεῖς κόλπους λειμώνων ἐγκρούων.**

ἐγκρύβω μτγν. τ. τοῦ ἐγκρύπτω βλ.λ. : 'Απολλδ. 3,13,6 **κρύφα Πηλέως εἰς τὸ πῦρ ἐγκρύβουσα τῆς νυκτὸς ἔφθειρεν,** Γαλ.6,620· || ὁμ. μέσ. : Διόδ.Σ 1,80 **τῶν ἐκ τῆς βύβλου πυθμένων τοὺς δυναμένους εἰς τὸ πῦρ ἐγκρύβεσθαι.**

ἔγκρυμμα-ατος (τό) μτγν. κ. μσν. κρύπτη, ἐνέδρα στρατιωτῶν ἐναντίον πολεμίων ἐρχομένων ἀφυλάκτων : Τζέτζ.Χιλ.12,519 « λόχος δὲ καὶ ἔνεδρα τὸ ἔγκρυμμα καλεῖται » : Εὐστ.'Ιλ.932,17, 'Αφρικαν. Κεστ.312 **εἰς βίγλας καὶ ἀνερευνήσεις ἐγκρυμμάτων τῶν πολεμίων.**

ἐγκρυμματώδης-ους-ες μσν. ὁ ἔχων ἐγκρύμματα βλ.λ. : Νικ.Χων. (ἐν παραφρ.) 813 **ἐγκρυμματώδεις τόποι** (τόποι εἰς ἐνέδρας κατάλληλοι).

ἐγκρυπτάζω μτγν. ἐγκρύπτω βλ.λ., παθ. : Νεῖλ. 'Επιστ.334,12 **τὸ φιλήδονον πνεῦμα τὸ ἐγκρυπταζόμενον ἐν τοῖς τοῦ σώματος μέλεσι.**

ἔγκρυπτος-ον μτγν. κ. νεώτ. κεκρυμμένος : Θεοδώρ.Ψαλμ.1,681,12 **τὴν ἔγκρυπτόν σου δικαιοσύνην ἄγων εἰς φῶς**· **2**) τὸ ἀρσ. **ἔγκρυπτος** ὡς οὐσ. 'Ησ. « πέμματος εἶδος »· πρβλ. ἐγκρυφίας.

ἐγκρύπτω κ. νεώτ. κρύπτω ἐντός τινος, μέσα : 'Οδ.Ε 488 **ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ,** 'Αριστλ.ΖΙ 619 b, 15 **ἀλλ'** (φὰ) **ἐν δέρματι λαγωοῦ ἢ ἀλώπεκος ἐγκρύψαν ἐᾷ,** ΚΔ Ματθ.13,33 **ἣν** (ζύμην) **λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία**· κ. παθ. : 'Απολλ.1,5,1 **καὶ καταλαβοῦσα εἰς πῦρ ἐγκεκρυμμένον ἀνεβόησε,** Μηναῖ.1,15 Θεοτοκ. **ἐν ῥάκεσι πενιχροῖς θησαυρὸς ἐγκρυπτόμενος**· || κ. μέσ. **ἐγκρύπτομαι** κρύπτω ἐμαυτόν, κρύβομαι : Νόνν.Δ 2,74 **ἐνεκρύπτοντο θαλάσσῃ**· **2**) διατηρῶ τι κεκρυμμένον εἴς τι μέρος ἢ ἐν ἐμοί : 'Αριστφ.'Ορν.841 **τὸ πῦρ ἔγκρυπτ' ἀεί,** Σωτ.Κωμ.'Αθήν.7,293 Ε **ἐνέκρυφα θ' ὥσπερ δαλὸν εἰς πολλὴν τέφραν,** - ἡ κατάστασις ἐγκρύπτει πολλοὺς κινδύνους.

ἐγκρυφιάζω ἀμτβ. ἐγκρύπτω ἐμαυτόν, κρύβομαι κάπου, ἐνεργῶ κουφίως : 'Αριστφ.'Ιππ.822 **πολλοῦ δὲ πολύν με χρόνον καὶ νῦν ἐλελήθεις ἐγκρυφιάζων**· **2**) ἀποκρύπτω : Προκ.Μυστ.1 **οὐκέτι τὸ πάθος ἐγκρυφιάζειν οἷαν τε οὖσαν,** Παχυμ.Γ 'Ανδρόν.5,25 **τὸ μὲν στράτευμα ἐγγιστά που ἐνεκρυφίαζον**· κ. παθ. : Εὐστ.Πον.64,94 **ὁ γάμος ἐγκρυφιασθεὶς ἐπληρώθη** (τελεσθεὶς κρυφίως).

ἐγκρυφίας (ὁ) (μετὰ ἢ ἄνευ τοῦ **ἄρτος**) ὁ ἐν τέφρα, σποδῷ ἐψημένος ἄρτος, σταχτόπιττα : 'Ιππ.Δι.2,42 **οἱ δὲ κλιβανῖται καὶ οἱ ἐγκρυφίαι** (ἄρτοι) **ξηρότατοι,** Λουκ.Νεκρ.Δ 20,4 **ὁ δὲ σποδοῦ πλέως ὥσπερ ἐγκρυφίας ἄρτος,** 'Αθήν. 3,110 Β· **2**) ἐπὶ ἀνθρώπ., δόλιος, ὕπουλος : Πολυδ.4,47 **γόης, ἀπατεών . . ἐγκρυφίας.**

ἐγκρύφιος-ον μτγν. ὁ ἐντός τινος κεκρυμμένος : Φιλόδ.ΑΠ 5,123 **καὶ πῦρ τύφεται ἐγκρύφιον.**

ἔγκρυφος-ον μτγν. ἐγκρύφιος βλ.λ. : Νόνν.Δ 28,295 **Ζηνὸς ὑποκλέπτων . . ἔγκρυφον ἥβην,** αὐτ.37,68 **ἔγκρυφον . . πῦρ.**

ἐγκρύφω μτγν. ἐγκρύπτω βλ.λ. : Κόϊντ.14,556 **ἄνδρα φάραγξιν ἐνέκρυφεν,** Νόνν.Δ 6,135 **παῖδα** ἐνέκρυφε **φωλάδι πέτρῃ.**

ἔγκρυφις-εως (ἡ) τὸ διατηρεῖν τι κεκρυμμένον ἐντὸς ἄλλου, τὸ παράχωμα : 'Αριστλ.Ζω.Θαν.5 **ἡ δ' ἔγκρυφις σῴζει τὸ πῦρ.**

ἔγκτασις-εως (ἡ) δωρ. ἔγκτησις βλ.λ. : Δημ.256 **δόμεν . . ἔγκτασιν γᾶς καὶ οἰκιᾶν.**

ἐγκτερεΐζω μτγν. θάπτω ἐντός : 'Απολλ.Ρ 1,1060 **τύμβῳ ἐνεκτερέϊξαν.**

ἔγκτημα-ατος (τό) τὸ ἐν ἀλλοτρίᾳ χώρᾳ κτῆμα· ΑΒ 260,4 : Δημ.87 **καὶ τὰ μὲν ὑμέτερα εἶναι ἐγκτήματα ὡς ἐν ἀλλοτρίᾳ, τὰ δὲ ἑαυτῶν κτήμαθ' ὡς ἐν οἰκείᾳ,** 'Αππ.Μιθριδ.47.

ἔγκτησις-εως (ἡ), δωρ. **ἔγκτασις** τὸ ἔχειν κτήματα ἐν ἀλλοτρίᾳ χώρᾳ : Ξεν.'Ελλ.5,2,19 **συγκλεισθήσονται ταῖς τε ἐπιγαμίαις καὶ ἐγκτήσεσι παρ' ἀλλήλοις**· **2**) τὸ δικαίωμα τοῦ ἔχειν κτήματα ἐν ἀλλοτρίᾳ χώρᾳ : Δημ.256 **δόμεν . . ἔγκτασιν γᾶς καὶ οἰκιᾶν,** 'Επιγρ. **εἶναι δὲ αὐτῷ οἰκίας ἔγκτησιν**· **3**) ἔγγειος κτῆσις, ἀγρόκτημα, ὑποστατικόν : ΠΔ Λευϊτ.25,13 **ἐν τῷ ἔτει τῆς ἀφέσεως σημασίας αὐτῆς ἐπανελεύσεται εἰς τὴν ἔγκτησιν αὐτοῦ,** Πάπ. **ἀπογραφὴ ἐγκτήσεων**· || πάπ. **βιβλιοθήκη ἐγκτήσεων** κτηματολόγιον· **4**) ἡ κτῆσις γαιῶν : Πολύβ.28,20,8 (πιθ. γρ.).

ἐγκτητικόν (τό) 'Επιγρ. ἔγγειος φόρος ἀποτινόμενος ὑπὸ τοῦ κατέχοντος ἐγκτήματα βλ.λ.

ἔγκτητος-ον μτγν. ἐπὶ ἀκινήτου κτήματος, κειμένου ἐν ξένῃ χώρᾳ, ὁ ἀνήκων εἴς τινα : ΠΔ Λευϊτ. 14,34 **δώσω ἀφὴν λέπρας ἐν ταῖς οἰκίαις τῆς γῆς τῆς ἐγκτήτου ὑμῖν.**

ἐγκτήτωρ-ορος (ὁ) 'Επιγρ. κτηματίας, ἰδιοκτήτης γαιῶν, γαιοκτήμων.

ἐγκτίζω μτγν. κτίζω ἐντός τινος, οἰκοδομῶ, ἱδρύω, ἀνεγείρω : Πλούτ.'Ηθ.328Ε **'Αλέξανδρος ὑπὲρ ἑβδομήκοντα πόλεις βαρβάροις ἔθνεσιν ἐγκτίσας**· || ὁμ. μέσ. : 'Ηρ.5,23 **ἀνδρὶ 'Ελληνι . . δοὺς ἐγκτίσασθαι πόλιν ἐν Θρηίκῃ** (δ.γρ. **ἐγκτήσασθαι**)· πρβλ. ἐγκτῶμαι.

ἐγκτῶμαι-άομαι κτῶμαι κτήσεις κτήματα ἐν ἄλλῃ ξένῃ χώρᾳ : 'Ηρ.5,23 (δ.γρ. **ἐγκτίσασθαι**)· || ἡ μτχ. **ἐγκεκτημένος** ὁ ἔχων κτήματα εἰς ξένον τοῦ εἰς ὃν ἀνήκει δῆμον, ἀντίθ. δημότης : Δημ.1208 **δόξαν γὰρ . . τοὺς βουλευτὰς ἀπενεγκεῖν τοὺς προεισοίσοντας τῶν τε δημοτῶν καὶ τῶν ἐγκεκτημένων**· πρβλ. Ξεν.Πρόσ.2,6 **εἰ ἡ πόλις διδοίη οἰκοδομησαμένοις ἐγκεκτῆσθαι**· ρηματ. π. ἔγκτημα, ἔγκτησις.

ἔγκυαρ-ᾰρος (ἡ) 'Επιγρ. ἔγκυος, γγαστρωμένη : 'Επιγρ. **ἔγκυαρ ὄϊς.**

ἐγκυβερνῶ-άω μτγν. κυβερνῶ που : Διαγ.Λ 9,1 **γνώμην, ἥ τε οἱ ἐγκυβερνήσει πάντα διὰ πάντων**· **2**) ἐπὶ ἀνέμου, ἐμπίπτω, ἐνσκήπτω : 'Αρετ.1,3 **ἦν . . οἷον ἄνεμος ἱστίοισι ἐγκυβερνέῃ.**

ἐγκύβιστος-ον μσν. προπετής, ὁρμητικός : Θησ.Στεφ.ἐν λ. **ἐγκύβιστον τῇ κεφαλῇ ταῖς τῶν σχοίνων κατὰ μικρὸν ἐπιδόσεσιν.**

ἐγκυβιστῶ-άω κυβιστῶ βλ.λ. : Εὐστ.Πον.330,49 **τοὺς ἐν αὐτῇ** (τῇ θαλάσσῃ) **γυμνουμένους ἐγκυβιστᾶν**· **2**) μτφ. ριψοκινδυνεύω· Σουΐδ. ἐν λ. κύβος « ἐγκυβιστᾶν **τοῖς πράγμασι, τὸ ῥιψοκινδύνως τι πράττειν».**

ἔγκυδον 'Ησ. « ἔνδοξον ».

ἐγκύησις-εως (ἡ) ἐπὶ **φυτῶν**, ἡ κυοφορία, **ἡ ἐκ** τοῦ σπόρου φύσις : Θεόφρ.ΦΑἰτ.1,6,3 **ἅμα γὰρ τῇ ἐγκυήσει . . καὶ ὁ φλοιὸς ἐπιφύεται.**

ἐγκυητήριον (τό) φάρμακον προκαλοῦν **τὴν** σύλληψιν : 'Ιππ.'Αφ.231.

ἐγκυκλεύω μτγν. **περικυκλῶ, περιβάλλω, ἐκτεί-**

νομαι ὁλόγυρα : Ἐπιφάν.2,58A **τὴν δὲ πεδιάδα ἐγκυκλεύουσαν τὸ ὄρος.**

ἐγκύκληθρον (τὸ) μσν. ἐκκύκλημα βλ.λ. : Εὐστ. 976,15 (πιθ. ἐσφ.γρ. ἀντὶ ἐκκύκληθρον).

ἐγκύκλημα-ατος (τὸ) ἐκκύκλημα βλ.λ.· **2**) πληθ. π.Ἀριστλ., ἡ κινητὴ περιουσία : Ἀριστλ.Οἰκ.1346 a, 13 **πρόσοδος ἡ ἀπὸ τῶν ἄλλων ἐγκυκλημάτων.**

ἐγκύκλησις-εως (ἡ) μτγν. ἐκκύκλησις βλ.λ. : Εὐσέβ.Ἐκκλ.Ἱστ.3,29 (ἐσφ. γρ.).

ἐγκυκλητής (ὁ) μτγν. ὁ ἐγκυκλῶν, διαστρέφων τι, ποὺ τὰ στριφογυρίζει : Ἐπιφάν.Ἀγκυρωτὸς 105.

ἐγκυκλίζω μτγν. περιστρέφω : Ἱππιατρ.30.

ἐγκύκλιος-ον (ἐν- κύκλος) κ. μσν., νεώτ. κ. δημ. κ. **ἐγκύκλιος-α-ον,** ὁ ἔχων σχῆμα κύκλου, ὁ κυκλικός, κυκλοτερής : Εὐρ.ΙΤ 429 **ὅπου πεντήκοντα κορᾶν Νηρηίδων χοροὶ μέλπουσιν ἐγκύκλιοι,** Αἰσχίν.1,10 **περὶ τῆς συμφοιτήσεως τῶν παίδων καὶ τῶν χορῶν τῶν ἐγκυκλίων,** Ἀριστλ. Οὐρ.293a, 11 **ἐγκύκλιος κίνησις·** **2**) ὁ γινόμενος κατὰ χρονικὰς περιόδους, περιοδικός· ὅθ. ἐν Ἀθήναις **ἐγκύκλιοι λειτουργίαι** AB 250,22 « ἐγκύκλιοι λειτουργίαι, αἱ κατ' ἐνιαυτόν γινόμεναι, οἷον χορηγίαι, γυμνασιαρχίαι καὶ ἱερῶν περίοδοι » : Δημ.463 **οἱ κατ' ἐνιαυτὸν τὰς ἐγκυκλίους λειτουργίας λειτουργοῦντες·** **3**) ἐγκύκλια δίκαια τὰ κοινὰ εἰς ὅλους τοὺς πολίτας : αὐτ.792 **ᾧ γὰρ οὐδὲ τῶν ἴσων οὐδὲ τῶν ἐγκυκλίων δικαίων μετουσίαν διδόασιν οἱ νόμοι·** **4**) ὁ συνήθης, ὁ τακτικός : Ἰσοκρ.3,22 **οὐ μόνον δ' ἐν τοῖς ἐγκυκλίοις αἱ μοναρχίαι διαφέρουσιν,** Ἀριστλ.Πολιτ. 1269b, 35 **χρησίμου δ' οὔσης τῆς θρασύτητος πρὸς οὐδὲν τῶν ἐγκυκλίων,** Διον.Ἀλ.Ῥωμ.10,33 **ἐγκύκλιον . . τοῦτο καὶ ἐν ἔθει ἦν ἤδη τῇ πόλει,** Ἐπιγρ. **διάφορον ἀπὸ τῆς ἐγκυκλίου διοικήσεως,** Θεοφύλ.Σ 151B **ὁ δὲ στρατηγὸς τὰς ἐγκυκλίους διανομὰς τῶν χρημάτων αὐτοῖς ἐποιήσατο·** || **ἐγκύκλιοι διακονίαι** τὰ καθημερινὰ ἔργα : Ἀριστλ.Πολιτ.1263a, 21· || Ἐπιγρ. **ἐγκύκλια (τέλη)** τέλη ἐτησίως ἐκμισθούμενα· **5**) εἰδ. κ. νεώτ. **ἐγκύκλιος παιδεία** ἡ ἀναφερομένη εἰς τὴν γενικὴν μόρφωσιν, ἡ πρὸ τῆς εἰδικῆς ἐπιστημονικῆς παιδείας· Ζωναρ.600 « ἐγκύκλιος (παιδεία)· ἡ γραμματική, ἡ ποιητική, ἡ ῥητορική, ἡ φιλοσοφία, ἡ μαθηματική, καὶ ἁπλῶς πᾶσα τέχνη καὶ ἐπιστήμη, διὰ τὸ **περιιέναι ταῦτα τοὺς σοφοὺς ὡς διά τινος κύκλου** » : Μενεκλ.π.Ἀθην.4,184B **ἐκλιπούσης ἤδη τῆς ἐγκυκλίου παιδείας διὰ τὰς γενομένας συνεχεῖς κινήσεις,** Πλούτ.Ἠθ.1135E **περὶ τὴν ἄλλην ἐγκύκλιον παιδείαν·** || ὁμ. **ἐγκύκλιος ἀγωγή** : Στράβ.1,1,22· πρβλ. κ. **ἐγκύκλιος τέχνη** : Ὀλυμπ. Ἀλχ.91 B· **6**) **ἐγκύκλια φιλοσοφήματα** ἢ ἁπλῶς **ἐγκύκλια** = ἐξωτερικὰ βλ.λ. : Ἀριστλ.Οὐρ.279a, 30· **7**) πάπ. τὸ οὐδ. **ἐγκύκλιον** ὡς οὐσ. ὁ ἐπὶ τῶν πωλήσεων φόρος· **8**) νεώτ. κ. δημ. **ἐγκύκλιος ἐπιστολὴ ἢ διαταγὴ** ἢ ἁπλῶς **ἐγκύκλιος** ἡ κοινοποιουμένη πρὸς πολλοὺς συγχρόνως : **ἐγκύκλιος τοῦ Ὑπουργείου τῶν Οἰκονομικῶν.**

ἔγκυκλον (τὸ) κ. μσν. κ. νεώτ. εἶδος γυναικείου ἱματίου ἔχον **πορφυρᾶν** κυκλικὴν **παρυφήν, φερόμενον** ὑπὸ τὸν χιτῶνα, μισοφόρι, ἄ. ἐπιγονατίς· Εὐστ.Ἰλ.976,13 « τὸ ἔκκυκλον ἢ ἔγκυκλον, . . γυναικεῖον ἦν ποτε φόρημα. φησὶν γοῦν Παυσανίας ὅτι ἔγκυκλον περιπόρφυρον ἱμάτιον καὶ χιτὼν γυναικεῖος, ὃν ἔνδοθεν ἐνδύονται γυναῖκες », Φώτ. 388,13 « τὸ δὲ κύκλῳ τὴν πορφύραν ἔχον (ἱμάτιον) ἔγκυκλον καλοῦσι » : Ἀριστφ.Θεσμ.499 **ὡς ἡ γυνὴ δεικνῦσα τἀνδρὶ τοὔγκυκλον ὑπ' αὐγὰς οἷόν ἐστιν, ἐγκεκαλυμμένον τὸν μοιχὸν ἐξέπεμψεν·** Ἐπιγρ. **ἔγκυκλον ποικίλον·** **2**) νεώτ. ναυτ. σιδηροτροχιαὶ λεῖαι προσηλωμέναι μονίμως ἐπὶ τῶν καταστρωμάτων τῶν πυροβολείων τῶν παλαιῶν πολεμικῶν πλοίων.

ἐγκυκλοπαιδεία (ἡ) μτγν., νεώτ. κ. δημ. ἐγκύκλιος παιδεία βλ.λ. : Κοϊντιλ.1,10,1· **2**) νεώτ. κ. δημ. ἔργον πραγματευόμενον ἐν συνόψει περὶ πάντων τῶν ἀνθρωπίνων γνώσεων, ἰδίως κατ' ἀλφαβητικὴν τάξιν διατεταγμένων : **Ἀγγλικὴ - Γαλλικὴ - Ῥωσσικὴ ἐγκυκλοπαιδεία - Μεγάλη Ἑλληνικὴ Ἐγκυκλοπαιδεία·** || ἔργον πραγματευόμενον περὶ τῶν γνώσεων τῶν ἀναφερομένων εἰς εἰδικήν τινα ἐπιστήμην : **Ἐμπορικὴ - Στρατιωτικὴ Ἐγκ-.**

ἐγκυκλοπαιδικά ἐπίρρ. δημ. κατὰ τρόπον ἐγκυκλοπαιδικόν, δι' ἐγκυκλοπαιδικῆς μορφώσεως.

ἐγκυκλοπαιδικός-ή-όν νεώτ. κ. δημ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὴν ἐγκύκλιον βλ.λ. παιδείαν : **ἔχει ἐγκυκλοπαιδικὴν μόρφωσιν·** || τὸ ἀρσ. ὡς οὐσ. ὁ ἔχων ἐγκύκλιον, γενικὴν μόρφωσιν : **ἄνθρωπος ἐγκυκλοπαιδικός·** || ὁμ. τὸ οὐδ. ἐπὶ συγγραμμάτων, ὁ περιέχων γενικὰς γνώσεις ἐκ τῶν διαφόρων ἐπιστημῶν καὶ τεχνῶν : **ἐγκυκλοπαιδικὸν λεξικόν·** **2**) τὸ ἀρσ. ὡς οὐσ. ἰδίως κτ. πληθ. οἱ ἐγκυκλοπαιδισταὶ βλ.λ.

ἐγκυκλοπαιδικότης-ητος (ἡ) νεώτ. ἡ ἰδιότης τοῦ ἐγκυκλοπαιδικοῦ βλ.λ.2).

ἐγκυκλοπαιδικῶς ἐπίρρ. νεώτ. κατὰ τρόπον ἐγκυκλοπαιδικόν, δι' ἐγκυκλοπαιδικῆς μορφώσεως.

ἐγκυκλοπαιδισταί (οἱ) νεώτ. φιλοσ. ἢ **ἐγκυκλοπαιδικοί** οἱ συντάκται τῆς Μεγάλης Γαλλικῆς Ἐγκυκλοπαιδείας· || κατ' ἐπέκτ. **οἱ φιλόσοφοι** καὶ λόγιοι οἱ ἀνήκοντες εἰς τὸ νεωτεριστικὸν μεταρρυθμιστικὸν καὶ **ἐπαναστατικὸν πνεῦμα** τοῦ 18ου αἰῶνος, ἰδίως οἱ ἐν Γαλλίᾳ.

ἔγκυκλος-ον κ. νεώτ. ὁ ἐν σχήματι κύκλου ὢν ἢ ὁ σχηματίζων κύκλους, ὁ κυκλικός : Ἐπίκ.Ἐπιστ. 2,52 **ἐγκ- δίνη,** Σχόλ.Ἡσ.Θ 139 **ἐν χρόνῳ γάρ τινι ἐγένοντο ἔγκυκλοι περιφοραὶ τοῦ πυρὸς ἐκ τοῦ ἀέρος·** || τὸ οὐδ. κτ. πληθ. **ἔγκυκλα** τὰ ἐν τῷ βίῳ συνήθη καὶ διαρκῶς ἐπανερχόμενα, ἐπαναλαμβανόμενα· Ἡσ. « ἔγκυκλα· τὰ ἐγκυκλούμενα τῷ βίῳ συνήθη »· **2**) γεν. ὁ στρογγύλος : Μάτρ. Δειπν.π.Ἀθην. 4,137 B **ὡς δὲ ἴδον . . μέγαν ἔγκυκλον . . πλακοῦντα·** **3**) τὸ οὐδ. ὡς οὐσ. βλ.λ.

ἐγκυκλῶ-έω περιστρέφω ἐντός τινος, κ· μέσ. κ. παθ. **περιστρέφομαι** ἐντός τινος : Ἱππ.Τέχν.10 **καὶ αὐτὰ τὰ ἄρθρα, ἐν οἷσιν αἱ συμβολαὶ τῶν κινουμένων ὀστέων ἐγκυκλέονται·** **2**) κωμ. μτφ. τὸ μέσ. περιελίσσομαι, συστρέφομαι ἐντός τινος, ὅθ. περιορίζομαι, στρυμώχνομαι σὲ στενὸ μέρος· || ὅθ. συνεκδ. ἀπατῶμαι, τυλίγομαι : Ἀριστφ.Σφ.699 **ὑπὸ τῶν ἀεὶ δημιζόντων οὐκ οἶδ ὅπῃ ἐγκεκύκλησαι** (σχόλ. « μεταβέβλησαι », Σουΐδ. « ἐνέστραφαι »)· **3**) σχόλ. περιοδικῶς ἐπαναλαμβάνω : Σχόλ.Ἰλ.Υ 404 **σύνηθες δὲ τοῖς ἐκεῖ καθ' ἕκαστον ἔτος ἐγκυκλεῖν τὰς θυσίας τῷ θεῷ·** κ. παθ. : EM 311,49 **ἐγκυκλίους** λειτουργίας **τὰς καθ' ἕκαστον ἐνιαυτόν· κύκλος γὰρ ὁ ἐνιαυτὸς ἀπὸ τοῦ ἐγκυκλεῖσθαι τῇ τῶν ἡμερῶν περιόδῳ·** **4**) μέσ. περικυκλῶ, κυκλώνω : Πλούτ.Τ Γράκχ.5 **τὸ δὲ πᾶν ἐγκυκλουμένων στράτευμα καὶ συνωθούντων εἰς τόπους χαλεπούς·** **5**) εἰδ. φέρω ἐπὶ τῆς σκηνῆς τοῦ θεάτρου ἐκ τῶν παρασκηνίων διὰ τοῦ ἐγκυκλήματος βλ.λ.· ἐν χρ. κ. μτφ. : Σχόλ.Ἰλ.Σ 477 **δαιμονίως τὸν πλάστην αὐτὸς διέπλασεν, ὥσπερ ἐπὶ σκηνῆς ἐγκυκλήσας καὶ δείξας ὑμῖν ἐν φανερῷ τὸ ἐργαστήριον.**

ἐγκυκλῶ-όω κινῶ ἐν κύκλῳ, πέριξ, στρέφω πανταχοῦ : Εὐρ.ΙΤ 76 **ἀλλ' ἐγκυκλοῦντ' ὀφθαλμὸν εὖ σκοπεῖν χρεών·** || μέσ. σχηματίζω κύκλον πέριξ τινός, κάθημαι κύκλῳ, ὁλόγυρα : Πλούτ.Ἠθ.50D **οὐδὲ τοὺς ἀμφὶ πλουσίαν τράπεζαν ἐγκυκλουμένους·** **2**) περιβάλλω ἐν σχήματι κύκλου, περικυκλώνω : Στράβ.2,5,24 **ἐγκυκλοῖ . . τὴν θάλατταν·** || ὁμ. μέσ. : Εὐρ.Βάκχ.292 **μέρος τι τοῦ χθὸν' ἐγκυκλουμένου αἰθέρος·** || ὁμ. μέσ.

'Αριστφ.Σφ.395 **ὥσπερ φωνὴ μέ τις ἐγκεκύκλωται** (ἔχει ἠχήσει πέριξ ἐμοῦ, ὀλόγυρά μου)· ‖ μέσ. περικλείω τινὰ ἤ τι πανταχόθεν, περιζώνω : Πλούτ. Μάρκ.6 **ὡς μὴ φθαῖεν αὐτὸν ἐγκυκλωσάμενοι καὶ περιχυθέντες ὀλιγοστὸν ὄντα**· ‖ ὁμ. ἐπὶ ποταμῶν κ. ὀρέων : Στράβ.2,1,36 **ἐν αἷς τὸν Τίγριν καὶ τὸν Εὐφράτην ἐγκυκλοῦσθαι**· ‖ ὁμ. παθ. : Δίων Κ 56,12· **3)** μτγν. μέσ. π. πεζογρ. περιέρχομαι, περιηγοῦμαι : Διόδ.Σ 4,23 **βουλόμενος ἐγκυκλωθῆναι πᾶσαν Σικελίαν, ἐποιεῖτο τὴν πορείαν.**

ἐγκύκλωσις-εως (ἡ) μτγν. περικύκλωσις, κύκλωσίς τινος ἐντὸς ἄλλου : Στράβ.2,1,36 **καὶ τὸ πλέον γε τῆς ἐγκυκλώσεως τὸν Εὐφράτην ποιεῖν.**

ἐγκυκῶ-άω ἀναμειγνύω, ἀνακατώνω : Διοσκ.Θηρ. 2,424Α **ἐγκυκήσαντας ὡς ἐν ἀλφίτῳ δεδευμένῳ**· ‖ μέσ. , ἐν ἐμοὶ ἀνακυκῶν ἀναμειγνύω : 'Αριστφ. 'Αχ.939 **καὶ κύλιξ τὰ πράγματ' ἐγκυκᾶσθαι.**

ἐγκυλίδωτος-ον ἀγκυλιδωτὸς βλ.λ. : 'Ιππ.Γυν.1,75 (δ.γρ. **ἀγκυλιδωτός**).

ἐγκυλίνδησις-εως (ἡ) μτγν. τὸ ἐν μέσῳ τινῶν ἢ μετά τινων κυλίνδεσθαι, κυλίεσθαι, ἡ οἱονεὶ κτηνώδης ἀπόλαυσις : Πλούτ.'Οθ.2 **τὰς ἀνοσίους.. ἐν γυναιξὶ πόρναις.. ἐγκυλινδήσεις.**

ἐγκυλίνδω κ. **ἐγκυλίω, μέλλ. ἐγκυλίσω** ἐντυλίσσω, περιτυλίσσω : Φερεκρ.146,2 **πολλοῖς ἐμαυτὸν ἐγκυλῖσαι πράγμασιν,** 'Ιππ.Γυν.1,75 **ἐγκ- τι ἐς ἔριον**· κ. παθ. : 'Επιγρ.' **2)** μέσ. κυλίομαι ἐντός τινος : Λουκ.'Ιππ.6 **οἶκος.. ἐγκυλίσασθαι ὠφελιμώτατος**· **3)** μτφ. παθ. παρασύρομαι, ἐμπλέκομαι εἴς τι, μπερδεύομαι : Ξεν.'Απομν.1,2,22 **τοὺς εἰς ἔρωτας ἐγκυλισθέντας,** Διον.'Αλ.Ρωμ.11,36 **εἰς πολιτικὰς πράξεις ἐγκυλισθείς.**

ἐγκύλισμα-ατος (τό) σχόλ. ἀλινδήθρα, ἀλογοκυλίστρα : Σχόλ.'Αριστφ.Νεφ.32 **ἀλινδήθρας τε καὶ ἐγκυλίσματα.**

ἐγκυλισμός (ὁ) μτγν. ἐπὶ κακοῦ, ἐγκυλίνδησις βλ.λ. : Βέττ.Βάλ.11Β,17 (πληθ.).

ἐγκυλίω κ. **ἐγκυλίνδω** βλ.λ.

ἐγκυμαίνω μτγν. κυμαίνω ἔν τινι, τίθημι εἰς κυματισμόν : Βασ.'Εξαήμ.1,15Β **λήια.. ταῖς κοιλότησιν ἐγκυμαίνοντα**· **2)** παθ. ταράσσομαι : Κλήμ. 'Αλ.179,28 **οὐδὲ γὰρ.. ἐγκυμαίνονται ἔτι τῶν πρεσβυτέρων αἱ ὀρέξεις περὶ τὰ τῆς μέθης ναυάγια.**

ἐγκυματίζω μον. ἐγκυμαίνω βλ.λ., παθ. : Γρηγ Νύσσ.1,283 D **οἱ δὲ.. τῷ σάλῳ τῶν κυμάτων ἐγκυματισθέντες.**

ἐγκύματος-ον μτγν. ὁ ἐν τοῖς κύμασιν ὢν ἢ γινόμενος, θαλάσσιος : Σεκοῦνδ.17 **ἐγκ- ὁδοιπορία.**

ἐγκυματῶ-όω μτγν. ἐγκυματίζω βλ.λ. : Γρηγ.Νύσσ. 2,536 D **τῷ ἀστατοῦντι.. ἐγκυματοῦσθαι βίῳ.**

ἐγκύμιος-ον μτγν. ἐπὶ ἀσθενῶν, πιθ. μετακύμιος βλ.λ. : Φιλόδ.'Οργ.42,14 **καταδιώκουσί τινας.. διὰ τὴν μεγάλην ἐγκύμιον τοῖς συμπτώμασιν.**

ἐγκυμόνησις-εως (ἡ) κ. νεώτ. σύλληψις, γγάστρωμα : Ψ'Αριστλ.Φυτ.1,2,11 **ἐγκυμονήσει ζῴου, ἥτις ἐστὶ μεῖξις ἄρρενός τε καὶ θήλεος**· **2)** κυοφορία, ἐγκυμοσύνη, γγαστριά : 'Επιφάν.Αἱρ.2,63, αὐτ.3,28 **διὰ τῆς ἐγκ- τῆς ἁγίας παρθένου.**

ἐγκυμονικός-ή-όν μτγν. κ. νεώτ. ὁ ἀνοφερόμενος, ἰδιάζων εἰς ἐγκυμοσύνην βλ.λ. : **ἐγκυμονικαὶ παθήσεις**· **2)** ἐπὶ γυναικὸς ἢ μήτρας τὸ θηλ., ἔγκυος, γγαστρωμένος : 'Επιφάν.1,1044C **ξέειν τε τὰς ἐγκυμονικὰς μήτρας τε καὶ ὑστέρας.**

ἐγκυμονῶ-έω μτγν., μον., νεώτ. κ. δημ. φέρω τινὰ ὡς ἔμβρυον ἐν γαστρί, κυοφορῶ : 'Απολλδ. 1,2,6 **εἰς Κρήτην, ὁπηνίκα τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε**· ‖ ἀμτβ. γίνομαι ἔγκυος, γγαστρώνομαι : Μηναῖ.1,4 Συναξ. **δόξας αὐτὴν ἐγκυμονεῖν ἐκ τοῦ 'Αββᾶ Δωροθέου,** Γεωπ.14,26,2 **γῦπας.. ἀντιπρῴρους τῷ νότῳ πετομένους ἐγκυμονεῖν**· ‖ παθ. κυοφοροῦμαι : Διον.'Αλ.Ρωμ.1,60 **τὸ ἐγκυμονούμενον** (τὸ ἔμβρυον)· **2)** νεώτ. κ. δημ. μτφ. ἐπὶ κακοῦ, ἐγκλείω, κρύπτω ἐν ἐμαυτῷ : Καρκβ.Ζητ.97 **ὅσα ὁ ἄνθρωπος μέσα στὴν χτηνωδία του ἐγκυμονεῖ κατὰ τοῦ συνόμοιου του,** **-ἡ κατάστασις ἐγκυμονεῖ πολλοὺς κινδύνους.**

ἐγκυμοσύνη (ἡ) νεώτ. κ. δημ. ἡ κατάστασις τῆς ἐγκύου, κυοφορία, γγαστριά : Καρκβ.Ζητ.69 **κι ἔπειτα στὴ νέα ἐγκυμοσύνη της ἔπαιρνεν ὅλες τὶς δυνατὲς προφυλάξεις.**

ἐγκύμων-ονος-ον κ. νεώτ. ἐπὶ γυναικῶν καὶ θηλέων ζῴων, ἔγκυος, γγαστρωμένη : Ξεν.Κυν.7,2 **ἵνα θᾶττον ἐγκύμονες γίγνωνται,** 'Αριστλ.Ζ1 546b, 10 **ἣν δ' ἂν ἐγκύμονα ποιήσῃ, ταύτης πάλιν οὐχ ἅπτεται,** αὐτ. ἀπ.76 **ἐγκύμων γενέσθαι ὑπό τινος**· **2)** ἐπὶ γῆς καὶ φυτῶν, ὁ τὸν σπόρον ἐν ὥρᾳ γονιμότητος φέρων : Πλάτ.Κωμ.174,8 **ἐγκύμων ἄμυλος,** Διοσκ.3,7 **πόα ἐγκύμων σπέρματος**· **3)** μτφ. ἐπὶ τοῦ δουρείου ἵππου, ὁ φέρων, κρύπτων τι ἐν ἑαυτῷ : Εὐρ.Τρ.11 **'Επειὸς μηχαναῖσι Παλλάδος ἐγκύμον' ἵππον τευχέων συναρμόσας**· **4)** ὁμ. μτφ. ἐπὶ τῆς διανοίας, ὁ πλήρης σκέψεων· ἀντίθ. κενός : Πλάτ.Θεαίτ. 148 Ε **ὠδίνεις γάρ.. διὰ τὸ μὴ κενός, ἀλλ' ἐγκύμων εἶναι**· ‖ ὁμ. ἐν ἀναφορᾷ πρὸς τὰς ἀρετὰς τῆς ψυχῆς : Πλάτ.Συμπ. 209 Β **ὅταν τις ἐκ νέου ἐγκύμων ᾖ τὴν ψυχήν.**

ἐγκυοποιῶ-έω μτγν. καθιστῶ ἔγκυον βλ.λ., ἐν χρ. μτφ. ἐπὶ χημικῆς ἀντιδράσεως : Ζώσ.'Αλχ.211 Β.

ἔγκυος (-α)-ο(ν) κ. νεώτ. κ. δημ. ἐπὶ γυναικῶν κ. θηλέων ζῴων, ἡ φέρουσα ἔμβρυον ἐν γαστρί, γγαστρωμένη, ἀ. ἐγκύμων : 'Ηρ.6,131 **καὶ ἔγκυος ἐοῦσα εἶδε ὄψιν ἐν τῷ ὕπνῳ,** 'Ιππ.'Αφ.5,42, Πλούτ. 'Ηθ.552 D **τὴν ἔγκυον, ἐὰν ἁλῷ θανάτου μέχρι τέκῃ φυλάττειν,** Μηναῖ.1,4 Συναξ. **ἤρξατο τοῖς πολλοῖς ἡ κόρη ἔγκυος καταφαίνεσθαι,** Παπαδ. Χριστ.Τεμπ.28 **ἐπαγγελλομένη ἐνίοτε τὴν μαῖαν εἰς τὰς σπανίας ἐγκύους, - κλεφίγαμοι ἔγκυοι**· ‖ **ἔγκυος μόρος** θάνατος γυναικὸς κατὰ τὸν τοκετόν, ἀπάνω στὴ γέννα : 'Ελλ.'Επιγράμμ.238 **γαστρὸς ἀπωσαμέναν μόρον ἔγκυον**· **2)** ἐπὶ φυτῶν, ἐγκύμων βλ.λ. 2) : 'Αριστλ.595b, 27 **ἡ δὲ κράστις λειοτριχεῖν ποιεῖ, ὅταν ἔγκυος ᾖ**· **3)** μτφ. ἐπὶ τοῦ δουρείου ἵππου, ἐγκύμων βλ.λ.3) : 'Αντίφιλ. ΑΠ9,156 **πῶλος ἡσυχίης ἔγκυος**· **4)** γεν. ὁ πλήρης τινός, φορτωμένος : Νόνν.Εὐαγγ.'Ιω.220,4 **δίκτυον ἕλκων ἔγκυον ἀλλομένων νεπόδων.**

ἐγκυοφοροῦμαι-έομαι μον. φέρομαι ἐν γαστρὶ ὡς ἔμβρυον, κυοφοροῦμαι : Σταυδ.Θεόδ.749 **ἐγκυοφορούμενος ἔτι ὁ Πρόδρομος.**

ἐγκυπτάζω μον. παρατηρῶ, κοιτάζω : Νικ. Χων.297,15, Μιχ.'Ακομ.1,10,1.

ἐγκύπτω κ. νεώτ. κύπτω πρός τι ἢ ἐντός τινος, ἵνα ἴδω, ἐξετάσω μετὰ προσοχῆς : Πλάτ.Πολ.359 D **θυρίδας ἔχοντα, καθ' ἃς ἐγκύψαντα ἰδεῖν ἐνόντα νεκρόν**· **2)** ἀπολ. κύπτω, σκύβω : 'Αριστφ. Νεφ.191 **τί γὰρ οἵδε δρῶσιν οἱ σφόδρ' ἐγκεκυφότες;,** Θουκ.4,4 **καὶ τὸν πηλὸν.. ἐπὶ τοῦ νώτου ἔφερον ἐγκεκυφότες,** Πλάτ.Πολ.555Ε· **3)** ἐξετάζω τι μετὰ προσοχῆς, θεωρῶ, σκοπῶ : 'Ηρ. 7,152 **ἐγκύψαντες ἂν εἰς τὰ τῶν πέλας κακά,** Θεμίστ.Λόγ.18,218 Β **ἐγκύπτων.. εἰς ἑαυτόν**· ‖ κ. νεώτ. εἰδ. ἀναφορ. πρὸς μελέτας, ἐπιδίδομαι, κοταγίνομαι μετὰ ζήλου : 'Ιω.Χρυσ.Ψαλμ.5,538 **ἐγκύπτωμεν τοῖς ἐγγεγραμμένοις,** Τζέτζ.'Εξήγ.'Ιλ.51,26 **ἐγκύψαι κἂν μὴ ὀκνήσητε τῷ 'Αριστοφάνους συγγράμματι, - ἐνέκυψεν εἰς μελέτας ἱστορικάς**· **4)** ἐπὶ τῶν δακτύλων, κάμπτομαι, λυγίζομαι : 'Ιππ. 'Εβδ.51 **δάκτυλοι ἐγκύπτοντες.**

ἐγκύρησις-εως (ἡ) μτγν. συγκυρία, σύμπτωσις : Φιλόδ.Ρητ.1,71S, Σέξτ.'Εμπ.Πύρρ.1,37· **2)** πάπ. εἰδ. ἐν τῇ ἰατρικῇ, ὡρισμένον φαινόμενον, σύμπτωμα.

ἔγκυρος (-η)-ο(ν) νεώτ. κ. δημ. ὁ ἔχων κῦρος, βαρύτητα, ἀξιόπιστος, αὐθεντικός : **πληροφορίαι ἐξ ἐγκύρου πηγῆς. - διὰ τὰ ἐκπαιδευτικὰ ἔχει ἐγ-**

κυρον γνώμην· || νομ. κ. δημ. ὁ ἔχων νομικὴν ἰσχύν, ἀντίθ. ἄκυρος: **ἔγκυρος γάμος - διαθήκη, - ἔγκυρο(ν) χρεωστικό(ν).**

ἐγκυρότης-ητος (ἡ) νεώτ. νομ., δημ. **ἐγκυρότητα** ἡ ἰδιότης τοῦ ἐγκύρου βλ.λ.

ἐγκυρσεύω ἐγκύρω βλ.λ., συναντῶ, συντυχαίνω: Ἡράκλειτ.π.Κλημ.᾿Αλ.432.

ἐγκύρτια (τά) μέρος παρὰ τὴν εἴσοδον καὶ εἰς τὸ ἐσωτερικὸν τοῦ κύρτου βλ.λ.· Σουΐδ. «τὰ ἐν τοῖς κύρτοις ἐνυφάσματα. Πλάτων δὲ χρῆται ἐν Τιμαίῳ ἐπὶ τῆς φάρυγγος τῇ λέξει»: Πλάτ.Τίμ.78 B **πλέγμα.. διπλᾶ κατὰ τὴν εἴσοδον ἐγκύρτια ἔχον.**

ἔγκυρτος-ον κ. νεώτ. ὁ ἐντὸς κυρτός, ἀψιδωτός, καμπυλόσχημος: Ἱππ.Μόχλ.1, ᾿Αριστλ.Φυσιογν. 3,5 **μικρὸν ἔγκυρτος.**

ἐγκύρτωσις-εως (ἡ) κυρτότης, καμπή: Κασσ. Πρβλ.38 **κατάγματος μετ᾿ ἐγκυρτώσεως.**

ἐγκύρω κ. ἐγκυρῶ-έω, παρατ. **ἐνέκυρον,** ἀόρ. **ἐνέκυρσα,** αἰολ. μτχ. **ἐγκύρσαις,** μετὰ δοτ. ἐντυγχάνω, τυχαίως συναντῶ τι: ᾿Ιλ.Ν 145 **ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξι,** Ἡσίοδ.῎Εργ.214, Ἡρ.4,125 **ἐνέκυρσε ἀμφοτέρῃσι τῇσι μοίρῃσι τῶν Σκυθέων,** Σοφ.᾿Ηλ.863 **τμητοῖς ὁλκοῖς ἐγκῦρσαι·** || ὁμ. μετὰ γεν.: Ἡρ.7,208 (διορθ. **ἐκύρησεν**)· **2)** πλησιάζω, φθάνω· Ἡσ. «ἐνέκυρσεν, ἐπλησίασεν»: Πίνδ.Π 4,282 **ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ βιοτᾷ·** || ἐπίγρ. ὁμ. μετ᾿ αἰτ. τοπ.: ᾿Ελλ. ᾿Επιγράμμ.241 **῎Αιδαν ἐγκύρσαντες ἀλάμπετον.**

ἐγκυρῶ-έω ἐγκύρω βλ.λ.: Ἡρ.7,218 **ἐνεκύρησαν στρατῷ,** Διον.᾿Αλ.Ρωμ.3,59.

ἐγκύρως ἐπίρρ. νεώτ. μετὰ κύρους, αὐθεντικῶς.

ἐγκυσίκωλος ἡ ἐγκυσίχωλος Ἡσ. «ἄνωθεν ἀπὸ τοῦ κυσοῦ χωλός».

ἔγκυσις-εως (ἡ) ἀρχ. λεξ. τοκετός.

ἐγκυστίωσις-εως (ἡ) νεώτ. ἰατρ. ἐγκύστωσις βλ.λ.

ἐγκυστῶ-όω νεώτ. περιβάλλω διὰ κύστεως, δι᾿ ὑμένος· || μέσ. ἐπὶ τῶν πρωτοζώων, σχηματίζω περὶ ἐμαυτὸν ἰνώδη ἱστὸν ἐν **εἴδει** κύστεως.

ἐγκύστωσις-εως (ἡ) νεώτ. ἰατρ. ἡ ὑπὸ συνδετικοῦ ἱστοῦ ἔγκλεισις ἢ περιβολὴ ἐξιδρώματος πυώδους ἢ καὶ αὔλακος ἢ καὶ ξένων σωμάτων· **2)** ζωολ. ἐπὶ τῶν πρωτοζώων, ἡ δι᾿ ὑμένος **ἐν εἴδει** κύστεως περιένδυσις πρωτοζώων.

ἔγκυτα λακων. λ. Ἡσ. «ἔγκατα».

ἐγκυτὶ ἐπίρρ. ἰων. μέχρι τοῦ δέρματος βαθιά, σύρριζα, ἐπὶ κουρᾶς: ᾿Αρχίλ.22 **χαίτην ἀπ᾿ ὤμων** ἐγκυτὶ **κεκαρμένος** (σχόλ.«πρὸς αὐτῷ τῷ δέρματι»).

ἔγκυφος-ον μσν. ὁ κυρτοὺς ἔχων τοὺς ὤμους, σκυφτός: Μηναῖ.1,18 Συναξ. **ὁ μὲν ἅγιος ᾿Αθανάσιος.. ἔγκυφος, χαρίεις τὸ πρόσωπον.**

ἐγκύφωσις-εως (ἡ) μτγν. κύφωσις, κυρτότης, καμπούριασμα: Γαλ.8,246.

ἐγκώλεας γλωσσ. ὁ ἐν κώλῳ ἢ ἐν κώλοις· || πιθ. κόλουρος, κολοβός (λατ. **truncatus**).

ἐγκωλύω μτγν., ἀόρ. **ἐνεκώλυσα,** ἐσφ. γρ. ἀντὶ **ἐνεκόλλησα** κολλῶ τι εἴς τι: ῞ΗρωνΑὐτομ.24,2.

ἐγκωμάζω γλωσσ. εὐθυμῶ, κροιπαλῶ.

